Εἰς δόξαν Πατρὸς Υἱȣ̃ ϗ ἁγίȣ Πνεύματος
Τȣ̃ ἑνὸς Θεȣ̃.

# ΕΓΧΕΙΡΙΔΙΟΝ

Περιέχον τὰ ᾀσματικὰ ἐγκώμια ϗ τὸν Κανόνα τȣ̃ Ἐπιταφίȣ, τὰ ἐν τῷ Τριῳδίῳ τετυπωμένα, ἐπιμελῶς ἤδη διορθωθέντα, μετὰ ϗ τȣ̃ ἀναστασίμȣ κανόνος τῆς λαμπροφόρȣ ἡμέρας τȣ̃ Πάσχα.

Τύποις ἐκδοθὲν Πατριαρχεύοντος τȣ̃ Παναγιωτάτȣ ϗ Θειοτάτȣ οἰκȣμενικȣ̃ Πατριάρχȣ Κυρίȣ Κυρίȣ

## ΝΕΟΦΥΤΟΥ

Ἀναλώμασι μὲν ϗ δαπάνῃ τȣ̃ τιμιωτάτȣ ϗ φιλοχρίστȣ ἐν Πραγματευταῖς Κὺρ Σεραφὶμ: Υἱȣ̃ Ἀθανασίȣ Μȣρμέρογλȣ, τȣ̃ καταγομένȣ ἐκ χωρίȣ Φερτὲκ, ϗ ἤδη κατοικȣ̃ντος ἐν τῇ κατὰ Καισάρειαν Κωμοπόλει τῇ καλȣμένῃ Νέμσεερ, εἰς ψυχικὴν αὐτȣ̃ τε ϗ τῶν γονέων αὐτȣ̃ σωτηρίαν. Ἐπιμελείᾳ δὲ ϗ διορθώσει

## ΝΙΚΟΔΗΜΟΥ ΜΟΝΑΧΟΥ.

Εἰς ὕμνον τȣ̃ ὑπὲρ ἡμῶν ταφέντος, ϗ ἀναστάντος Χριστȣ̃ τȣ̃ Θεȣ̃ ἡμῶν, ϗ εἰς εὐχερεστέραν χρῆσιν τῶν ἐν ταῖς τȣ̃ Θεȣ̃ Ἐκκλησίαις ψαλλόντων.

Ἐν τῷ τȣ̃ Πατριαρχείȣ τῆς Κωνσταντινȣπόλεως
Τυπογραφείῳ. Ἔτει 1800.

Τὰς αἰσθήσεις ἡμῶν καθαρὰς τῷ Χριστῷ παραστήσωμεν, ϗ ὡς Φίλοι αὐτȣ̃ τὰς ψυχὰς ἡμῶν θύσωμεν δι᾽ αὐτὸν, ϗ μὴ ταῖς μερίμναις τȣ̃ βίȣ, συμπνιγῶμεν ὡς ὁ Ἰȣ́δας. ἀλλ᾽ ἐν τοῖς ταμείοις ἡμῶν κράξωμεν. Πάτερ ἡμῶν ὁ ἐν τοῖς ȣ̓ρανοῖς ἀπὸ τȣ̃ πονηρȣ̃ ῥῦσαι ἡμᾶς.

# ΤΟΙΣ ΑΝΑΓΙΝΩΣΚΟΥΣΙ

Δύω εἴδη ἀσματικῶν ἐγκωμίων τȣ̃ Ἐπιταφίȣ θρήνȣ, φέρονται ἐν τῇ καθ᾽ ἡμᾶς Ἀνατολικῇ ἁγίᾳ τȣ̃ Χριστȣ̃ Ἐκκλησίᾳ. Τὸ ἓν, Παλαιὸν, ϗ τὸ ἄλλο Νεώτερον. Καὶ τῶν μὲν Παλαιῶν ὁ Ποιητὴς εἶναι ἐγνωσμένος. Ἰγνάτιος γὰρ ἐστιν ȣ̃τος, ὁ Ἀρχιμανδρίτης Μονῆς τȣ̃ μεγάλȣ Δημητρίȣ, ἀνὴρ ἐπὶ σοφίᾳ, ϗ ἀρετῇ διαπρέπων. Τῶν δὲ Νεωτέρων ὁ Ποιητὴς εἶναι ἄδηλος. Τινὲς δὲ λέγȣσιν ὅτι δὲν εἶναι ἕνας ὁ τȣ́των Ποιητὴς, ἀλλὰ πολλοὶ, εἶναι δὲ ϗ τὰ Παλαιὰ, ϗ τὰ Νέα ἐγκώμια, Τύποις ἐκδεδομένα. Τὰ μὲν γὰρ Παλαιὰ, πρὸ χρόνων ἤδη διακοσίων τεσσαράκοντα τεσσάρων τετυπωμένα εἰσίν· ὡς μαρτυρεῖ, τὸ ἐν τῇ Ἱερᾷ ϗ Βασιλικῇ Μονῇ τȣ̃ Παντοκράτορος εἰσέτι ϗ νῦν εὑρισκόμενον τετυπωμένον Τριῴδιον παλαιὸν, ταῦτα περιέχον. Τὰ δὲ Νεώτερα ἐγκώμια, ταῦτά εἰσι τὰ παρὰ πάντων ἐγνωσμένα τὰ ἐν τοῖς Ἱεροῖς λέγω, Τριῳδίοις τετυπωμένα. πλὴν, τόσον τὰ Παλαιὰ, ὅσον ϗ τὰ Νέα, ἐξίσȣ ϗ ἀπαραλλάκτως ἐστάθησαν δεκτὰ. εἰς τὸ νὰ ψάλλωνται ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ. διότι ϗ τὰ Παλαιὰ ἐψάλλοντο πρώην ἐν πάσαις ταῖς ἁγίαις τȣ̃ Χριστȣ̃ Ἐκκλησίαις, ὅτε ȣ̓κ ἦσαν τὰ Νεώτερα. διὰ τί γὰρ ἄλλο ἐτυπώθησαν, εἰμὴ ἵνα ψάλλωνται; ἀλλὰ ϗ τώρα ἀκόμη ψάλλονται ταῦτα, ἐν ταῖς μεγίσταις. ϗ εὐαγέσι Μοναῖς τȣ̃ ἁγίȣ Ὄρȣς.

ρους. Τούτων οὕτω προεγνωσμένων, σημειοῦμεν τοῖς Ἀναγνώσταις, ὅτι ὁ Ποιητὴς τῶν νῦν ψαλλομένων ἐν ταῖς τοῦ Χριστοῦ Ἐκκλησίαις ἐγκωμίων τοῦ Ἐπιταφίου, ἐπειδὴ, πολλὰ μὲν Τροπάρια ὁλόκληρα αὐτολεξεὶ ἠρανίσθη ἀπὸ τὰ Παλαιὰ, (ὡς ἡμεῖς αὐτὰ παρεβάλλομεν) καὶ νῦν μετὰ τῶν Νεωτέρων συμψάλλονται. Πολλὰ δὲ καὶ ἄλλα ἐξ αὐτῶν, κατανυκτικώτερα, καὶ καταλληλότερα, δὲν ἠξεύρω πῶς, τὰ ἀφῆκεν ὁ εὐλογημένος, καὶ ἄλλα ταυτὰ καὶ ἀκατάλληλα προσέθηκε. Διὰ τοῦτο ἡμεῖς, οὐ μόνον ἐδιορθώσαμεν τὰ παράμελα, καὶ μὴ καλῶς ἔχοντα, ἀλλὰ καὶ ἐνηλλάξαμέν τινα τῶν Νεωτέρων, καὶ ἀντὶ τῶν ταυτῶν, καὶ ἀκαταλλήλων, τὰ καταλληλότερα, καὶ κατανυκτικώτερα παρενεθήκαμεν, ὡς αὐτὰ ἑαυτὰ παρὰ τοῖς εἰδήμοσι δείξουσιν, ἐρανισθέντες ταῦτα ἐκ τῶν Παλαιῶν ἐκείνων τοῦ εἰρημένου Κυροῦ Ἰγνατίου, ἀφ' ὧν, ὡς εἴπωμεν, καὶ ὁ Ποιητὴς τῶν Νεωτέρων, πολλὰ αὐτολεξεὶ ἠρανίσατο. Εἰς χάριν δὲ τῶν Φιλολόγων, προσεθήκαμεν, καὶ ἐκ τῶν Ὁμηρικωτέρων τινα, καὶ τὸ Ἡρωϊκὸν Εὐαγγέλιον τοῦ ἑσπερινοῦ τῆς Κυριακῆς τοῦ Πάσχα, καί τινα σημειωμάτια, οἱονεὶ τῶν ἀναγινωσκόντων καρύκευμα.

Δέξασθε λοιπὸν εὐμενῶς τὸ παρὸν ἐγχειρίδιον, ὦ Σεβασμιώτατοι ἐν Χριστῷ Πατέρες καὶ ἀδελφοὶ, καὶ μετ' εὐλαβείας καὶ κατανύξεως προσᾴδοντες ταῦτα, τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι. καὶ ἀναστάντι Χριστῷ τῷ Θεῷ ἡμῶν. Εὔχεσθε ὑπὲρ τῆς ψυχικῆς σωτηρίας τῶν τύποις ταῦτα ἐκδεδωκότων, εἰς εὐχερεστέραν χρῆσιν τῶν ἐν ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις ψαλλόντων καὶ εἰς κοινὴν τοῦ γένους ὠφέλειαν.

ἔρρωσθε.





Τὸν δι᾽ ἡμᾶς σαυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν. αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν. εἰ καὶ σαυρὸν ὑπομένεις σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

# ΤΩ ΑΓΙΩ
## ΚΑΙ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ

Ἐν τῷ ὄρθρῳ, μετὰ τὸν Ἑξάψαλμον τὸ, Θεὸς Κύριος. Εἰς ἦχον δεύτερον. Εἶτα τὰ Τροπάρια ἦχ. β′.

Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν, τὸ ἄχραντόν σου σῶμα, Σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ, κηδεύσας ἀπέθετο. Δόξα.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος. τότε τὸν ᾅδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς θεότητος. ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον. ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι. Καὶ νῦν.

Ταῖς μυροφόροις Γυναιξὶ, παρὰ τὸ μνῆμα ἐπιστὰς ὁ Ἄγγελος ἐβόα. τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια. Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος.

Καὶ ἀρχόμεθα ψάλλειν τὸν Ἄμωμον μετὰ μέλους. ὡσαύτως κατὰ στίχ. καὶ τὰ ἐγκώμια. ἅτινα ψάλλεσθαι χρὴ, οὐχὶ μετὰ τὸν Κανόνα, ἀλλὰ πρὸ τοῦ Κανόνος, ἀντὶ Ψαλτηρίου δηλ. συνάμα τῷ ἀμώμῳ. Καθὼς διορίζουσι τοῦτο καὶ τὰ Τυπικά. Εὐτρεπισθέντος οὖν τοῦ Ἐπιταφίου ἐν τῷ μέσῳ τοῦ Ναοῦ, καὶ τῶν Ἱερέων πάντων ἐνδεδυμένων, ἐκφωνεῖ ὁ πρῶτος τῶν Ἱερέων εἰς ἦχον πλ. α′.

Τὸ α′. Τροπάριον ψάλλεται δὶς ἄνευ στίχων.

Ἡ ζωὴ ἐν τάφῳ, κατετέθης Χριστὲ, καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο, συγκατάβασιν δοξάζουσαι τὴν σήν.

Εἶτα Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

Ἡ ζωὴ πῶς θνήσκεις; πῶς καὶ τάφῳ οἰκεῖς; τοῦ θανάτου τὸ βασίλειον λύεις δὲ, καὶ τοῦ ᾅδου τοὺς νεκροὺς ἐξανιστᾷς.

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ ἐν ὅλῃ καρδίᾳ ἐκζη.

Μεγαλύνομέν σε Ἰησοῦ Βασιλεῦ, καὶ τιμῶμεν τὴν ταφὴν καὶ τὰ πάθη σου. δι' ὧν ἔσωσας ἡμᾶς ἐκ τῆς φθορᾶς.

Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύ.

Μεγαλύνομέν σε τὸν σωτῆρα Χριστὸν, δι' ἡμᾶς τὸν χθὲς σταυρὸν ὑπομείναντα, καὶ ζωοῦντα νῦν ἐν ᾅδῃ τοὺς νεκρούς.

Σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα.

Προσκυνήσαντές σου χθὲς τὰ πάθη Χριστέ. νῦν ὀρθρίζοντες ὑμνοῦμεν τὴν ἔνδοξον, καὶ τριήμερόν σου δέσποτα ταφήν.

Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικ.

Ἰησοῦ Χριστέ μου. βασιλεῦ τοῦ παντὸς, τί ζητῶν τοῖς ἐν τῷ ᾅδῃ ἐλήλυθας; ἢ τὸ γένος ἀπολῦσαι τῶν βροτῶν.

Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐν.

Ὁ δεσπότης πάντων, καθορᾶται νεκρὸς, καὶ ἐν μνήματι καινῷ κατατίθεται, ὁ κενώσας τὰ μνημεῖα τῶν νεκρῶν.

Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας ἐν τῷ μεμαθηκέναι με

Ἐξοδίους ὕμνους, δεῦτε πάντες Χριστῷ, καὶ ᾠδὰς ἐπιταφίους προσάξωμεν, τῷ παθόντι καὶ ταφέντι δι' ἡμᾶς.

Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδ.

Μετὰ τῶν κακούργων, ὡς κακοῦργος Χριστὲ, ἐλογίσθης δικαιῶν ἡμᾶς ἅπαντας, κακουργίας τοῦ ἀρχαίου πτερνιστοῦ.

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ. ἐν τῷ φυλάξασ.

Ὁ ὡραῖος κάλλει, παρὰ πάντας βροτοὺς, ὡς ἀνείδεος νεκρὸς καταφαίνεται, πετρωμένος χεῖρας πόδας καὶ πλευράν.

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντ.

Ὁ τμηθεὶς ἐξ ὄρους, λίθος πρὶν τῆς ἀγνῆς, σταυρικοῦ πεσὼν ἀφ' ὕψους ἐν μνήματι, νῦν συντρίβει πύλας ᾅδου καὶ μοχλούς.



Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου ὅπως ἂν μὴ ἁμάρτω σοι.

Ἰησοῦ γλυκύ μοι, καὶ σωτήριον φῶς, τάφῳ πῶς ἐν σκοτεινῷ κατακέκρυψαι; ὢ ἀφράστου καὶ ἀῤῥήτου ἀνοχῆς!

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἀπορεῖ καὶ φύσις, νοερὰ καὶ πληθὺς, ἡ ἀσώματος Χριστὲ τὸ μυστήριον, τῆς ἀφράστου καὶ ἀῤῥήτου σου ταφῆς.

Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου

Ὢ θαυμάτων ξένων: ὢ πραγμάτων καινῶν ὁ πνοῆς μοι χορηγὸς ἄπνους φέρεται, κηδευόμενος χερσὶ τοῦ Ἰωσήφ.

Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.

Καὶ ἐν τάφῳ ἔδυς, καὶ τῶν κόλπων Χριστὲ, τῶν πατρῴων οὐδαμῶς ἀπεφοίτησας· τοῦτο ξένον καὶ παράδοξον ὁμοῦ.

Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου.

Ἀληθῶς καὶ πόλου, καὶ τῆς γῆς βασιλεὺς, εἰ καὶ τάφῳ σμικροτάτῳ συγκέκλυσαι, ἐπεγνώσθης πάσῃ κτίσει Ἰησοῦ,

Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου

Ὁ χειρί σου πλάσας, ἐκ μὴ ὄντων τὸ πᾶν, πῶς χερσὶ παρανομούντων λυθῆναί σου, κατεδέξω τὸν τοῦ σώματος ναόν;

Ἀνταπόδος τῷ δούλῳ σου ζῆσόν με, καὶ φυλάξω τοὺς λόγους σου.

Ὢ χειρῶν ἀνόμων· ὢ χειρῶν μιαρῶν αἳ τὰς χεῖρας πλαστουργὲ καὶ τοὺς πόδας σου, καὶ τὴν ἄχραντον κατώρυξαν πλευράν.

Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ

Ἐν εἰκόνι σῶτερ, σὲ τὸν ζῶντα νεκρὸν, ὡς ἐν τάφῳ νῦν ὁρῶντες προκείμενον, ἐπιτάφιον σοὶ ᾄδομεν ᾠδήν.

Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολ.

Ὡς φωτὸς λυχνία, νῦν ἡ σὰρξ τοῦ Θεοῦ, ὑπὸ γῆν ὡς ὑπὸ μόδιον κρύπτεται; καὶ διώκει τὸν ἐν ᾅδῃ σκοτασμόν.

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παν.

Νοερῶν συντρέχει, στρατιῶν ἡ πληθὺς, Ἰωσὴφ καὶ Νικοδήμῳ στεῖλαί σε, τὸν ἀχώρητον ἐν μνήματι σμικρῷ.

Ἐπετίμησας ὑπερηφάνοις, ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν

Ἐκ πλευρᾶς τοῦ πρώτου, πάλαι πτῶσις Ἀδὰμ, ἐκ δευτέρου τοῦ χριστοῦ ἡ ἀνάστασις. διὰ ξύλου πρὶν φθορὰ νῦν δὲ ζωή.

Περίελε ἀπ᾽ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζ.

Καθελών σε λόγε, ἀπὸ ξύλου νεκρὸν, ἐν μνημείῳ Ἰωσὴφ νῦν κατέθετο. ἀλλ᾽ ἀνάστα σώζων πάντας ὡς θεός..

Καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ᾽ ἐμοῦ κατελάλουν. ὁ δὲ δοῦλ.

Τῆς ζωῆς τὴν πέτραν, ἐν κοιλίᾳ λαβὼν, ᾅδης ὁ παμφάγος ἐξήμεσεν ἐξ αἰῶνος οὓς κατέπιε νεκρούς.

Καὶ γὰρ τὰ μαρτύριά σου μελέτημά μου ἐστὶ, καὶ αἱ συμβουλίαι μου

Ἡ ζωὴ θανάτῳ, θαῦμα πῶς ὁμιλεῖ; πῶς θανάτῳ καταργεῖται νῦν θάνατος; ἐκ θανάτου πῶς πηγάζει δὲ ζωή;

Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου ζῆσόν με κατὰ τὸν λόγον σου.

Ἐπὶ γῆς κατῆλθες· ἵνα σώσῃς Ἀδὰμ, καὶ ἐν γῇ μὴ εὑρηκὼς τοῦτον δέσποτα, μέχρις ᾅδου κατελήλυθας ζητῶν.

Τὰς ὁδούς μου ἐξήγγειλα καὶ ἐπήκουσάς μου. δίδαξόν με τὰ δικαιώ

Ὢ καινῶν θαυμάτων· τίς γὰρ εἶδε ποτέ; ἢ ἀκήκοε νεκρὸν ζωοπάροχον; ἀλλὰ πάντες νῦν ἰδέτωσαν Χριστόν.

Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυ.

Ὡς βροτὸς μὲν θνήσκεις, ἑκουσίως σωτὴρ, ὡς θεὸς δὲ τοὺς θνητοὺς ἐξανέστησας, ἐκ μνημάτων καὶ βυθοῦ ἁμαρτιῶν.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις

Δακρυῤῥόους θρήνους ἐπὶ σὲ ἡ ἁγνὴ, μητρικῶς ὦ Ἰησοῦ ἐπιῤῥαίνουσα, ἀνεβόα πῶς κηδεύσω σε υἱέ;

Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾽ ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.

Ὥσπερ σίτου κόκκος, ὑποδὺς κόλπους γῆς, τὸν πολύχουν ἀποδέδωκας ἄσταχυν ἀναστήσας τοὺς βροτοὺς τοὺς ἐξ ἀδάμ.

Ὁδὸν ἀληθείας ᾑρετισάμην καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

Ὑπὸ γῆν ἐκρύβης, ὥσπερ ἥλιος νῦν, καὶ νυκτὶ τῇ τοῦ θανάτου κεκάλυψαι· ἀλλ᾽ ἀνάτειλον φαιδρότερον σωτήρ.



Ἐκολλήθην τοῖς μαρτυρίοις σου κύριε μή με καταισχύνῃς.

Ὡς ἡλίου δίσκον, ἡ σελήνη σωτὴρ, ἀποκρύπτει καὶ σὲ τάφος νῦν ἔκρυψεν, ἐκλιπόντα τῷ θανάτῳ σαρκικῶς.

Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

Ἐρυθραῖς μὲν θείων, σῶν αἱμάτων βαφαῖς, χθὲς ἡμῖν πταισμάτων ἔγραψας ἄφεσιν, ἐκ δὲ τάφου νῦν βραβεύεις τὴν ζωήν.

Νομοθέτησόν με κύριε τὴν ὁδὸν τῶν δικαιωμάτων σου ἐκζητήσω αὐ.

Νεκρωθέντα πάλαι τὸν Ἀδὰμ φθονερῶς, ἐπανάγεις πρὸς ζωὴν τῇ νεκρώσει σου νέος σῶτερ ἐν σαρκὶ φανεὶς Ἀδάμ.

Συνέτισόν με καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν·

Νοεραί σε τάξεις, ἡπλωμένον νεκρὸν, καθορῶσαι δι᾽ ἡμᾶς ἐξεπλήττοντο, καλυπτόμεναι ταῖς πτέρυξι σωτήρ.

Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

Οὐχ ὡς πρώην ᾅδης, νῦν δεσπόζει ψυχῶν, οὐδὲ θάνατος σωμάτων τῷ κράτει σου, κατηργήθησαν γὰρ ἄμφω Ἰησοῦ.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου καὶ μὴ εἰς πλεονεξίαν

Τῶν ἀγγέλων σῶτερ, χαρμονὴ πεφυκὼς, νῦν καὶ λύπης τούτοις γέγονας αἴτιος, καθορώμενος σαρκὶ ἄπνους νεκρός.

Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁ.

Ὑψωθεὶς ἐν ξύλῳ, καὶ τοὺς ζῶντας βροτοὺς, συνυψοῖς ὑπὸ τὴν γῆν δὲ γενόμενος, τοὺς νεκροὺς τοὺς ὑπ᾽ αὐτὴν ἐξανιστᾷς.

Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.

Ὥσπερ λέων σῶτερ, ἀφυπνώσας σαρκὶ, ὥστις σκύμνος ὁ νεκρὸς ἐξανίστασαι, ἀποθέμενος τὸ γῆρας τῆς σαρκός.

Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα ὅτι τὰ κρίματά σου χρη.

Τὸ λαλεῖν ἀλάλοις, πῶς ὁ πρὶν χορηγῶν, ἄρτι γέγονας οἰκτίρμων ἀθάνατε, ἄπνους ἄλαλος ἀκίνητος νεκρός;

Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

Ἐν κρυπτῷ μὲν πάλαι, θύεται ὁ ἀμνὸς, σὺ δ᾽ ὑπαίθριος τυθεὶς ἀνεξίκακε, πᾶσαν κτίσιν ἀπεκάθηρας σωτήρ.

*Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου κύριε, τὸ σωτήριόν σου κατὰ τὸν.*

Ζωοδότα λόγε, ὑπὸ λίθων νεκρὸς, πῶς ἐτέθης ὁ τοὺς λίθους μακρόθυμε, διαῤῥήξας τῇ σταυρώσει χθὲς τῇ σῇ.

*Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί με λόγον ὅτι ἤλπισα ἐπὶ τοῖς.*

Ὁ ζωῆς ταμείας, πῶς ὁρᾶται νεκρός; ἐκπληττόμενοι οἱ ἄγγελοι ἔλεγον. πῶς δ' ἐν μνήματι συγκλείεται θεός;

*Καὶ μὴ περιέλης ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα.*

Λογχονύκτου σῶτερ, ἐκ πλευρᾶς σου ζωὴν, τῇ ζωῇ (1) τῇ ἐκ ζωῆς ἐξωσάσῃ με, ἐπιστάζεις καὶ ζωοῖς με σὺν αὐτῇ.

*Καὶ φυλάξω τὸν νόμον σου διὰ παντὸς εἰς τὸν αἰῶνα καὶ εἰς τόν.*

Ὁ νεκροὺς ἐγείρων, ἐν τοῖς σάββασι πρὶν ἐν σαββάτῳ πῶς αὐτὸς νῦν ἀθάνατε, σαββατίζεις ὡς νεκρὸς μετὰ νεκρῶν.

*Καὶ ἐπορευόμην ἐν πλατυσμῷ ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.*

Ὁ εὐσχήμων σῶτερ, σχηματίζει φρικτῶς, καὶ κηδεύει ὡς νεκρόν εὐσχημόνως σε, καὶ θαμβεῖταί σου τὸ σχῆμα τὸ φρικτόν.

*Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων καὶ οὐκ.*

Οὐ τὸ φῶς τοῦ κόσμου, σὺ Θεὲ Ἰησοῦ; ἵνα τί λοιπὸν ὁ ἄδυτος ἥλιος, νῦν ὑπέδυς ᾅδου χῶρον ἀφεγγῆ;.

*Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου ἃς ἠγάπησα σφόδρα.*

Κᾂν νεκρὸς ὡράθης, ἀλλὰ ζῶν ὡς θεὸς, ἐπανάγεις ἀπὸ γῆς πρὸς οὐράνια, τοὺς ἐκεῖθεν πεπτωκότας Ἰησοῦ.

*Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα.*

Ὁ εἷς τῆς τριάδος, ἐν σαρκὶ δι' ἡμᾶς, ἐπονείδιστον ὑπέμεινε θάνατον. φρίττει ἥλιος καὶ τρέμει δὲ ἡ γῆ.

Καὶ ἠ-

---

(1) Ἤτοι τῇ Εὔα, τῇ οὕτω κληθείσῃ ὑπὸ τοῦ Ἀδάμ. Εὔα δὲ ἑβραϊστὶ ἑρμηνεύεται ζωὴ, κατὰ τὸν Χρυσόστομον. (Γέν. γ. 20). Σὺ λοιπὸν ὦ σωτὴρ, ἐκ τῆς λογχονύκτου σου πλευρᾶς στάξας ζωὴν ἐπάνω τῆς Ζωῆς τῆς Εὔας, ἥτις με ἔξωσεν ἐκ τῆς ζωῆς καὶ τοῦ παραδείσου, ἐζωοποίησας κᾀμὲ σὺν αὐτῇ.



*Καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.*

Ὢ χαρᾶς ἐκείνης ὢ πολλῆς ἡδονῆς, ἧς περ τοὺς ἐν ᾅδῃ πεπλήρωκας, ἐν πυθμέσι φῶς ἀστράψας ζοφεροῖς.

*Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου ὧν ἐπήλπισάς με.*

Προσκυνῶ τὸ πάθος, ἀνυμνῶ τὴν ταφήν. μεγαλύνω σου τὸ κράτος φιλάνθρωπε, δι' ὧν λέλυμαι παθῶν φθοροποιῶν.

*Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου ὅτι τὸ λόγιόν σου.*

Κατὰ σοῦ ῥομφαία, ἐστιλβοῦτο Χριστὲ, καὶ ῥομφαία ἰσχυροῦ μὲν ἀμβλύνεται, καὶ ῥομφαία δὲ τροποῦται τῆς Ἐδέμ.

*Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα. ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐ.*

Ἡ ἀμνὰς τὸν ἄρνα, βλέπουσα ἐν σφαγῇ, ταῖς ἀκίσι βαλλομένη ἠλάλαζε, συγκινοῦσα καὶ τὸ ποίμνιον βοᾶν.

*Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος Κύριε καὶ παρεκλήθην.*

Ἀδελφαὶ Λαζάρου, τὸν φιλοῦντα ἡμᾶς, φθονηθέντα καὶ κτανθέντα νῦν κλαύσατε, ὕμνον πλέκουσαι θρηνώδη σὺν ἐμοί.

*Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων.*

Ὁ Θωμᾶς οἱ ἄλλοι, ποῦ σου νῦν μαθηταί; πρὸ μικροῦ οἱ δεῦτε λέγοντες ἄγωμεν, ἀποθάνωμεν σὺν τούτῳ καὶ ἡμεῖς;

*Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.*

Σὺν τῇ σὲ τεκούσῃ, πᾶσαι ὧδε ἐσμὲν, αἱ μαθήτριαι καὶ δοῦλαι σου δέσποτα. δὸς οὖν λόγον τῇ μητρί σου καὶ ἡμῖν.

*Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου Κύριε καὶ ἐφύλαξα τὸν νόμ.*

Σὺν ταῖς θείαις ταύταις, γυναιξὶ καὶ ἡμεῖς, τὸν ἐν τάφῳ καὶ τὰ πάντα πληροῦντά σε, ζωοδότην μεγαλύνομεν Χριστόν.

*Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.*

Τί φυλάττεις μάτην, τὸ μνημεῖον Χριστοῦ κουστωδία καὶ σφραγίζεις ἀνόητα; ἀναστήσεται γὰρ οὗτος ὡς Θεός.

*Μερίς μου εἶ κύριε εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.*

Ἰσραὴλ ἀγνώμων, μιαιφόνε λαὲ, τί παθὼν τὸν Βαραββᾶν ἠλευθέρωσας; τὸν σωτῆρα δὲ παρέδωκας σταυρῷ.

Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου ἐλέησόν με κατά.

Ὡς μιᾶς ἐκ κρήνης, τὸν διπλοῦν ποταμὸν, τῆς πλευρᾶς σου, προχεούσης ἀρδόμενοι, τὴν ἀθάνατον καρποῦμεθα ζωήν.

Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς.

Ὑπακούσας λόγε, τῷ ἰδίῳ Πατρὶ, μέχρις ᾅδου τοῦ δεινοῦ καταβέβηκας, καὶ ἀνέστησας τὸ γένος τῶν βροτῶν.

Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς.

Οὐρανός σοι θρόνος, ὑποπόδιον γῆ, ὁ δὲ τάφος οὗτος τί σοι κληθήσεται; πάντως οἶκος ἀναστάσεως Χριστέ.

Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ.

Φθονουργὲ καὶ ἄφρων, καὶ ἀλάστορ λαὲ, κἂν σινδόνας καὶ αὐτὸ τὸ σουδάριον, οὐκ αἰσχύνῃ ἀναστάντος τοῦ Χριστοῦ;

Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίμα:

Οὐκ ἐν ᾅδῃ πάσχεις· νῦν ὡς χθὲς ἐν σταυρῷ, πάσχει μᾶλλον ᾅδης δέ σε δεξάμενος, καὶ ὠδίνει τοῦ τεκεῖν πάντας νεκρούς.

Μέτοχος ἐγώ εἰμι, πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασ.

Ὁ τὴν γῆν ὁμίχλῃ, σπαργανῶν ὡς Θεὸς, πῶς σπαργάνοις νεκρικοῖς νῦν ἐν μνήματι, κατετέθης εἰληθεὶς οἷα νεκρός;

Τοῦ ἐλέους κυρίου πλήρης ἡ γῆ τὰ δικαιώματά σου δίδαξόν με.

Ὁ ζωώσας φίλον, Ἰησοῦ μου τὸν σὸν, τεταρταῖον ἄπνουν ὄντα τὸν Λάζαρον, πῶς αὐτὸς τριημερεύεις ἐκ νεκροῖς;

Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου κύριε, κατὰ τὸν λόγον.

Ὁ τυφλοῖς τὸ βλέπειν, χαριζόμενος πρὶν, πῶς ἐν τάφῳ νῦν τεθεὶς κλείεις ὄμματα, σχῆμα εἶδος νεκρικὰ πάντα δεικνύς;

Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με ὅτι ταῖς ἐντολαῖς.

Οἴμοι φῶς τοῦ κόσμου! οἴμοι φῶς τὸ ἐμόν! Ἰησοῦ μου ποθεινότατε ἔκραζεν, ἡ Παρθένος θρηνωδοῦσα γοερῶς.

Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγι.

Τίς μοι δώσει ὕδωρ; καὶ δακρύων πηγάς. ἡ Θεόνυμφος Παρθένος ἐκραύγαζεν. ἵνα κλαύσω τὸν γλυκύν μου Ἰησοῦν.



Χρηστὸς εἶ σὺ Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαι.

Ὦ βουνοὶ καὶ νάπαι, καὶ ἀνθρώπων πληθὺς, κλαύσατε καὶ πάντα θρηνήσατε, σὺν ἐμοὶ τῇ τοῦ Θεοῦ ἡμῶν μητρί.

Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων. ἐγὼ δὲ ἐν ὅλῃ

Πότε ἴδω σῶτερ; σὲ τὸ ἄχρονον φῶς; τὴν χαρὰν καὶ ἡδονὴν τῆς καρδίας μου; ἡ Παρθένος ἀνεβόα γοερῶς.

Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν. ἐγὼ δὲ τὸν νόμον σου ἐμε.

Ὦ Θεὲ καὶ λόγε, ὢ χαρὰ ἡ ἐμὴ, πῶς ἐνέγκω σου ταφὴν τὴν τριήμερον; νῦν σπαράττομαι τὰ σπλάγχνα μητρικῶς.

Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώμ.

Ὡς ἁγνὰς σινδόνας, τὰς καρδίας ἡμῶν, ὡς δὲ μῦρα τὴν ἡδύπνοον αἴνεσιν, τῷ ταφέντι νῦν προσοίσωμεν Χριστῷ.

Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου, ὑπὲρ χιλιάδας χρυσίου.

Τὸ ἑσπέρας πᾶσι, νῦν ηὐλίσθη κλαυθμὸς, τῷ πρωῒ δὲ ἀναστάντος σου δέσποτα, ἔσται πᾶσιν ἀγαλλίασις ἡμῖν. Δόξα.

Ἀνυμνοῦμεν λόγε, σὲ τὸν πάντων Θεὸν, σὺν Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι, καὶ δοξάζομεν τὴν θείαν σου ταφήν.

Καὶ νῦν Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε ἁγνὴ, καὶ τιμῶμεν τὴν ταφὴν τὴν τριήμερον, τοῦ Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν πιστῶς.

Καὶ πάλιν τὸ πρῶτον. εἶτα Συναπτὴ μικρά. Καὶ Ἐκφώνησις.

Ὅτι εὐλόγηταί τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. Ἀμήν.

※※※※※※※※※※※※※※※※※※※※※※※※※※

## ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ.

Ἄρχεται ὁ ἀριστερὸς χορὸς εὐρύθμως τοῦ τροπαρίου.

Τὸ α΄. τροπάριον ψάλλεται δὶς ἄνευ στίχων.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τὸν ζωοδότην, ἐν σταυρῷ τὰς χεῖρας ἐκτείναντα, καὶ συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθ.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τὸν πάντων κτίστην. τοῖς σοῖς γὰρ παθήμασιν ἔσχομεν, τὴν ἀπάθειαν ῥυσθέντες τῆς Φθορᾶς.

Οἱ Φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λό.

Ἔφριξεν ἡ γῆ, καὶ ὁ ἥλιος σῶτερ ἐκρύβη, σοῦ τοῦ ἀνεσπέρου Φέγγους Χριστὲ, δύναντος ἐν τάφῳ σωματικῶς.

Ἔγνων κύριε ὅτι δικαιοσύνη τὰ κρίματά σου καὶ ἀληθείᾳ ἐταπεί.

Ὕπνωσας Χριστὲ τὸν Φυσίζωον ὕπνον ἐν τάφῳ, καὶ βαρέος ὕπνου ἐξήγειρας, ἁμαρτίας ἅπαν γένος τῶν βροτῶν.

Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν.

Μόνη γυναικῶν, χωρὶς πόνων ἔτεκόν σε τέκνον. πόνους δὲ νῦν Φέρω πάθει τῷ σῷ, ἀΦορήτους ἔλεγεν ἡ σεμνή.

Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου καὶ ζήσομαι. ὅτι ὁ νόμος σου με.

Ἵνα τὴν βροτῶν, καινουργήσω συντριβεῖσαν Φύσιν, πέπληγμαι θανάτῳ θέλων σαρκὶ, Μῆτερ οὖν μὴ κόπτου τοῖς ὀδυρμοῖς.

Αἰσχυνθήτωσαν ὑπερήφανοι ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμὲ, ἐγὼ.

Ἄνω σε Χριστὲ, ἀχωρίστως τῷ Πατρὶ συνόντα κάτω δὲ νεκρὸν ἡπλωμένον γῇ Φρίττουσιν ὁρῶντα τὰ ΣεραΦίμ.

Ἐπιστρεψάτωσάν με οἱ Φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρ.

Ζῶσι μὲν θνητὸς, τεθνεῶσι δὲ ζῶν σῶτερ ὤφθης. πάντα σοῦ ὑπάρχει θεοπρεπῆ, καὶ Φρικτὰ τὰ ἔργα λόγε Θεοῦ.

Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως.

Πλάνος ὁ Θεὸς, Φρίξον ἥλιε συκοΦαντεῖται, καὶ σταυρὸν καὶ θάνατον καὶ ταΦὴν, σαρκικῶς ὑΦίσταται δι᾽ ἡμᾶς.

Ἐκλίπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπή.

Θρῆνον ἱερὸν, δεῦτε ᾄσωμεν Χριστῷ θανόντι, ὡς αἱ ΜυροΦόροι καὶ σὺν αὐταῖς, ἀκουσόμεθα τὸ χαῖρε καὶ ἡμεῖς.

Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου λέγοντες, πότε π.

Μῦρον ἀληθῶς σὺ ἀκένωτον ὑπάρχεις λόγε. ὅθεν σοι καὶ μῦρα προσΦέρον ΜυροΦόροι ὡς νεκρῷ ζωοποιῷ.



Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπ.

Ἔλυσας Χριστὲ, πάντας αἵματι χθές σου τῷ θείῳ. νῦν στολαῖς Φωτὸς δὲ ἐκόσμησας, ἐν σινδόνι εἱληθεὶς τῇ καθαρᾷ.

Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις με ἐκ τῶν.

Ἔθεντο Φρουροὺς· ἀλλ᾽ ἐψεύσθησαν οἱ συκοΦάνται. σὺ γὰρ οὐκ ἐκλάπης· ἀλλ᾽ ἀναστὰς, τοὺς Φθορᾷ κλαπέντας ζωοποιεῖς.

Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ᾽ οὐχ ὡς ὁ νόμος.

Φρίξον οὐρανὲ, τὴν ἀχάριστον ἑβραίων γνώμην· τὸν γὰρ ἐν νεΦέλῃ σκεπάσαντα, οὗτοι τάΦῳ συνεσκέπασαν Χριστόν.

Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια, ἀδίκως κατεδίωξάν με, βοήθησ.

Ἔδυς ὑπὸ γῆν, ὁ ΦωσΦόρος τῆς δικαιοσύνης, καὶ νεκροὺς ὥσπερ ἐξ ὕπνου ἐξήγειρας, ἐκδιώξας σκότος ᾅδου ζοΦερόν.

Παραβραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπ.

Κόκκος διΦυὴς ὁ Φυσίζωος ἐν γῆς λαγόσι, σπείρεται σὺν δάκρυσι σήμερον ἀλλὰ αὔριον βλαστήσει σὺν χαρᾷ.

Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ Φυλάξω τὰ μαρτύρια τοῦ στό.

Ἔπτηξεν Ἀδὰμ Θεοῦ βαίνοντος ἐν παραδείσῳ, χαίρει δὲ πρὸς ᾅδην Φοιτήσαντος. ὅτι πέπτωκε τὸ πρὶν ἔστη δὲ νῦν.

Εἰς τὸν αἰῶνα Κύριε ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ, εἰς γεν.

Σπένδει σοι χοὰς. ἡ τεκοῦσά σε Χριστὲ δακρύων, σαρκικῶς τεθνέντι ἐν μνήματι ἐκβοῶσα ἐξανάστηθι Υἱέ.

Ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει.

Φίλτατε Υἱὲ, τί τὸ θέαμα τὸ καινὸν τοῦτο; τί τὸ παρ᾽ ἐλπίδα συμβὰν ἐμοί; πῶς νεκρὸν ὁρῶ σε ζωοποιέ;

Τῇ διατάξει σου διαμένει ἡμέρα. ὅτι τὰ σύμπαντα δοῦλα σά.

Ἥλοις σὲ σταυρῷ, πεπαρμένον ἡ σὴ Μήτηρ λόγε, βλέψασα τοῖς ἥλοις λύπης πικρᾶς βέβληται καὶ βέλεσι τὴν ψυχήν.

Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτημά μου ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ.

Σὲ τὸν τοῦ παντὸς, γλυκασμὸν ἡ Μήτηρ καθορῶσα, πόμα ποτιζόμενον τὸ πικρὸν, δάκρυσι τὰς ὄψεις βρέχει πικρῶς.

Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου. ὅτι ἐν.

Πρὶν βρεφοπρεπῶς, ἐν ἀγκάλαις μου ὕπνωσας τέκνον. νῦν νεκροπρεπῶς δὲ κεκοίμησαι ἐν τοῖς στέρνοις μου· ἐβόα ἡ Ἁγνή.

Σός εἰμι ἐγὼ σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Ὄμμα τὸ γλυκὺ, καὶ τὰ χείλη σου πῶς μύσω λόγε; πῶς νεκροπρεπῶς δὲ κηδεύσω σε; Φρίττω ἀνεβόα ὁ Ἰωσήφ.

Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με, τὰ μαρτύριά σου.

Μύροις Ἰωσὴφ, καὶ ἀρώμασι Χριστὸν ἐνθάπτων, ταῦτα δὴ σὺν δάκρυσιν ἔψαλλεν, ἅμα Νικοδήμῳ θεολογῶν.

Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα.

Οὗτος ὁ νεκρὸς, εἰ καὶ θάπτεται νόμῳ θανόντων, ἀλλὰ ζωοδότης ἐστὶ Θεὸς, καὶ θανὼν τὸν θάνατον θανατοῖ.

Ὡς ἠγάπησα τὸν νόμον σου Κύριε ὅλην τὴν ἡμέραν μελέτη μου.

Οὗτος ὁ νεκρὸς, ὃν νῦν θάπτοντες ἡμεῖς θρηνοῦμεν, οὗτος καὶ ζωή ἐστι καὶ χαρὰ, ἄφθαρτος ἀΐδιος ἀληθῶς.

Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου; ὅτι εἰς τὸν.

Οὗτος ὁ νεκρὸς, οὗτος πέφυκεν ὃν Ἡσαΐας, εἶδεν ἐπὶ θρόνου τοῦ ὑψηλοῦ. θρόνος δ᾽ ἦν ὡς ἔοικεν ὁ σταυρός.

Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα ὅτι τὰ μαρτύρι.

Οὗτος ὁ νεκρὸς, οὗτος πέφυκε πρὸς ὃν ὁ μέγας θεοπάτωρ ἔκραζε πρὶν Δαβίδ. ὁ Θεὸς ἀνάστα κρῖνον τὴν γῆν.

Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Ὕμνους Ἰωσὴφ, καὶ Νικόδημος τούτους θρηνοῦντες, ᾄδουσι Χριστῷ νεκρωθέντι νῦν. ᾄδει δὲ σὺν τούτοις καὶ Σεραφίμ.

Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἄν.

Ἥλιος φαιδρὸν, ἀπαστράπτει μετὰ νύκτα λόγε. σὺ δὲ ἀναστὰς μετὰ θάνατον, ἐξαστράψεις ὡς νυμφίος ἐκ παστοῦ.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Λίθος λαξευτὸς, τὸν ἀκρόγωνον καλύπτει λίθον. ἄνθρωπος θνητὸς δ᾽ ὡς θνητὸν Θεὸν, κρύπτει νῦν ἐν τάφῳ. Φρίξον ἡ γῆ!



Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου ὑπὲρ μέλι τῷ στόμ.

Ἴδε Μαθητὴν, ὃν ἠγάπησας καὶ σὴν Μητέρα, τέκνον καὶ φθογγὴν δὸς γλυκύτατον· ἔκραζε δακρύουσα ἡ ἁγνή.

Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα. διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν.

Δύνεις ὑπὸ γῆν, σῶτερ ἥλιε δικαιοσύνης. ὅθεν ἡ τεκοῦσα σελήνη σε, μὴ ὁρῶσά σε ἐκλείπει μητρικῶς.

Λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου.

Ἤνοιξας Χριστὲ, τὸν παράδεισον κλεισθεὶς ἐν τάφῳ, κλῆρον πάλιν σῶτερ διδοὺς αὐτὸν, ᾅδου τοῖς ὑπάρχουσιν ἐν δεσμοῖς.

Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσ.

Οἱ ἐκ τοῦ Ἀδὰμ, κατεχόμενοι ἐν ᾅδου σκότει, αἴφνης σὲ τὸν ἄδυτον ἥλιον, βλέψαντες ἐπλήσθησαν χαρμονῆς.

Ἐταπεινώθην ἕως σφόδρα, Κύριε ζῆσόν με κατὰ τὸν λόγον.

Ἥλιος ὁμοῦ, καὶ Σελήνη σκοτισθέντες σῶτερ, δούλους εὐνοοῦντας εἰκόνιζον, οἳ μελαίνας ἀμφιέννυνται στολάς.

Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ Κύριε, καὶ τὰ κρίμ.

Οἶδέ σε Θεὸν, Ἑκατόνταρχος κἂν ἐνεκρώθης, πῶς σου οὖν Θεέ μου ψαύσω χερσί; Φρίττω ἀνεβόα ὁ Ἰωσήφ.

Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντὸς, καὶ τοῦ νόμου σου οὐκ.

Ὕπνωσεν Ἀδὰμ, ἀλλὰ θάνατον πλευρᾶς ἐξάγει, σὺ δὲ νῦν ὑπνώσας λόγε Θεοῦ, βρύεις ἐκ πλευρᾶς σου κόσμῳ ζωήν.

Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐ.

Ὕπνωσας Χριστὲ, καὶ ἐζώωσας τοὺς τεθνεῶτας, καὶ ἐξαναστὰς ἐξανέστησας, τοὺς ὑπνοῦντας ἐξ αἰῶνος ἀγαθέ.

Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα ὅτι ἀγαλλία.

Ἅδου πυλωροὶ, σὲ θεάνθρωπε νεκρὸν ἰδόντες, κάτωθεν ἐξέστησαν πτήξαντες, καὶ ἀπέλυσαν οὓς εἶχον ἐν δεσμοῖς.

Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς.

Πῶς οἱ νοεροὶ, ταγματάρχαι σὲ Χριστὲ ὁρῶντες, γυμνὸν ᾑμαγμένον κατάκριτον, ἔφερον τὴν τόλμαν τῶν σταυρωτῶν;

*Παρανόμους ἐμίσησα τὸν δὲ νόμον σου ἠγάπησα.*

Ὥσπερ Ἰωνᾶς, τρεῖς ἡμέρας ἐν τῷ κήτει μένει. οὕτως ἐν καρδίᾳ τῆς γῆς Χριστὲ, μένεις σὺ ὡς εἴρηκας ἔτι ζῶν.

*Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σὺ εἰς τοὺς λόγους σου ἐπήλ.*

Ἔθηκας σαυτὸν, ταπεινώσεως τοῖς πᾶσι τύπον, θάνατον ἑκούσιον Ἰησοῦ, καὶ ταφὴν τριήμερον ὑποστάς.

*Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς.*

Ὥσπερ πελεκᾶν τετρωμένος τὴν πλευράν σου Λόγε. τοὺς θανόντας παῖδας ἐζώωσας, ἐπιστάξας ζωτικοὺς αὐτοῖς κρουνούς.

*Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με, καὶ μὴ κατ.*

Ἥλιον τὸ πρὶν, Ἰησοῦς τοὺς ἀλλοφύλους κόπτων, ἔστησεν αὐτὸς δὲ ἀπέκρυψας, καταβάλλων τὸν τοῦ σκότους ἀρχηγόν.

*Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμ.*

Κόλπων πατρικῶν, ἀνεμφοίτητος μείνας οἰκτίρμων, καὶ βροτὸς γενέσθαι εὐδόκησας, καὶ εἰς ᾅδην καταβέβηκας Χριστέ.

*Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων.*

Ποῦ νῦν ὁ θανεῖν, ὑποσχόμενος ὑπὲρ σοῦ Πέτρος; εὖγε Νικοδήμῳ σὺν Ἰωσὴφ, καὶ ταῖς φίλαις γένοιτο γυναιξί.

*Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς.*

Οἴμοι ὦ Υἱὲ, ἡ ἀπείρανδρος θρηνοῦσα λέγει. ὃν ὡς βασιλέα γὰρ ἤλπιζον, κατάκριτον βλέπω νῦν ἐν σταυρῷ.

*Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου ἀπὸ γὰρ τῶν κ.*

Ταῦτα Γαβριὴλ, μὴ ἀπήγγειλεν ὅτε κατέπτη; ὃς τὴν βασιλείαν αἰώνιον, ἔφη τοῦ Υἱοῦ μου τοῦ Ἰησοῦ.

*Ἐποίησα κρίμα καὶ δικαιοσύνην μὴ παραδῷς με τοῖς ἀδικοῦσί.*

Φεῦ τοῦ Συμεὼν, ἐκτετέλεσται ἡ προφητεία! ἡ γὰρ σὴ ῥομφαία διέδραμε, τὴν ἐμὴν καρδίαν Ἐμμανουήλ.

*Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθὸν μὴ συκοφαντησάτωσάν με.*

Πρὶν τὸν τῆς Ῥαχὴλ, υἱὸν ἔκλαυσεν ἅπας κατ' οἶκον. νῦν τὸν τῆς Παρθένου ἐκόψατο, Μαθητῶν χορεία σὺν τῇ Μητρί.



*Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λό.*

Ὢ τῆς συμφορᾶς! τί νῦν πρότερον ἐγὼ θρηνήσω; τὴν κατάδικόν σου τέκνον σφαγήν; ἢ τὴν ὑπὸ λίθον τοῦτον ταφήν;

*Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώ.*

Λάζαρε νεκρὸν; τὸν ἐγείραντα πρὶν ἐκ νεκρῶν σε, δεῦρο θεασάμενος καὶ αὐτὸς, πένθησον καὶ δόξασον ὡς Θεόν.

*Δοῦλός σου εἰμὶ ἐγὼ συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύρι.*

Ἱερουσαλὴμ, δεῦτε κλαύσατε νῦν θυγατέρες, τὴν τῶν τεθνεώτων ὑμῶν ζωὴν, τὸν κοσμοσωτήριον Ἰατρόν.

*Καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ διεσκέδασαν τὸν νόμον σου.*

Δεῦτε καὶ ὑμεῖς. ἀπειρόκακοι κλαύσατε παῖδες, τὸν παμφίλτατόν μου τοῦτον Υἱὸν, ὃν Πατέρες ἔκτειναν οἱ ὑμῶν.

*Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.*

Ὢ τῆς ἀνοχῆς! ὢ κριμάτων σου τέκνον ἀρρήτων! χθὲς γὰρ ἐλογίσθης μετὰ λῃστῶν. νῦν δὲ ἐλογίσθης μετὰ νεκρῶν.

*Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην πᾶσαν ὁ.*

Ὢ τῆς συμφορᾶς! ὢ τοῦ Πάθους μου φεῦ οἷα βλέπω! εἴθε συναπῆλθον κἀγώ σοι νῦν. εἴθε συνετάφην σοι ὦ Υἱέ.

*Θαυμαστὰ τὰ μαρτύριά σου. διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυ.*

Οἴμοι φῶς ἐμόν! φῶς παγκόσμιον πῶς τὰς ἐν ᾅδου, οὐκ ἐάσας ταχέως διατριβάς; πότε δὲ σὲ ἴδω ζῶντα Υἱέ;

*Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους.*

Ὃν ποθεῖς ἰδεῖν, σεμνὴ Μῆτερ μου τάχιστα ὄψει. ὡς Θεὸς γὰρ αὔριον ἀναστὰς, πρώτῃ σοι ὀφθήσομαι τῇ Μητρί.

*Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα; ὅτι τὰς ἐντολάς σου ἐ.*

Ναὶ πανσθενουργόν! ναὶ γλυκύτατον ἴδοιμι τέκνον, τὴν ἀνάστασίν σου τὴν ἐκ νεκρῶν, τὴν βροτείου γένους καινοποιόν!

Δόξα.

Ἄναρχε Θεὲ, συναΐδιε Λόγε καὶ Πνεῦμα, σκῆπτρα τῶν ἀνάκτων κραταίωσον, κατὰ πολεμίων ὡς ἀγαθός.

Καὶ νῦν. Θεοτοκίον.

Τέξασα ζωήν, Παναμώμητε ἁγνὴ Παρθένε παῦσον Ἐκκλησίας τὰ σκάνδαλα, ϗ εἰρήνην βράβευσον ἀγαθή.

Καὶ πάλιν τὸ πρῶτον οἱ δύω Χοροί. Εἶτα Συναπτὴ μικρά. ϗ Ἐκφώνησις.

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ θρόνȣ δόξης τῶν Χερȣβὶμ ἐπαναπαυόμενος, ϗ σοὶ τὴν δόξαν ἀναπέμπομεν. σὺν τῷ ἀνάρχῳ σȣ Πατρί, ϗ τῷ Παναγίῳ ϗ ἀγαθῷ ϗ ζωοποιῷ σȣ Πνεύματι, νῦν ϗ ἀεὶ ϗ εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Καὶ ἀρχόμεθα τῆς τρίτης Στάσεως θυμιῶντος τȣ̃ Ἱερέως.

※※※※※※※※※※※※※※※※※※※※※※※※※※※※

## ΣΤΑΣΙΣ ΤΡΙΤΗ.

Ἄρχεται αὖθις μετὰ μέλȣς ὁ δεξιός, ἤγȣν ὁ πρῶτος Χορὸς Εἰς ἦχον γ΄. Τὸ ά Τροπάριν ψάλλεται δὶς ἄνευ στίχων.

ΑΙ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ σȣ, προσφέρȣσι Χριστέ μȣ. Ἐπίβλεψον ἐπ᾽ ἐμὲ ϗ ἐλέησόν με κατὰ τὸ κρίμα τῶν.

Καθελὼν τȣ̃ ξύλȣ, ὁ Ἀριμαθείας, ἐν τάφῳ σε κηδεύει.

Τὰ διαβήματά μȣ κατεύθυνον κατὰ τὸ λόγιόν σȣ, ϗ μὴ κα.

Μυροφόροι ἦλθον, μῦρά σοι Χριστέ μȣ, κομίζȣσαι προφρόνως.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων. ϗ φυλάξω τάς.

Δεῦρο πᾶσα κτίσις ὕμνȣς ἐξοδίȣς, προσοίσωμεν τῷ Κτίσῃ.

Τὸ πρόσωπόν σȣ ἐπίφανον ἐπὶ τὸν δȣ̃λον σȣ, ϗ δίδαξόν με.

Ὡς νεκρὸν τὸν ζῶντα, σὺν Μυροφόροις πάντες, μυρίσωμεν ἐμφρόνως. Διεξόδȣς ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μȣ ἐ.

Ἰωσὴφ τρισμάκαρ, κήδευσον τὸ σῶμα, Χριστȣ̃ τȣ̃ ζωοδότȣ.

Δίκαιος εἶ Κύριε ϗ εὐθεῖς αἱ κρίσεις σȣ.

Οὓς ἔθρεψε τῷ μάννᾳ, φέρȣσι τῷ Σωτῆρι, χολὴν ἅμα ϗ ὄξος. Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σȣ, ϗ ἀλήθειαν.

Οὓς ἔθρεψαν ἐν ἄρτοις, ἐννέα χιλιάδας, ἔκτειναν τὸν τροφέα. Ἐξέτηξέ με ὁ ζῆλος σȣ, ὅτι ἐπελάθοντο τῶν λόγων σȣ.



Σὲ δοξολογȣ̃μεν, ὃν ἑβραῖοι σῶτερ, ἀνόμως ἀθετȣ̃σι.

Πεπυρωμένον τὸ λόγιόν σȣ σφόδρα, ϗ ὁ δȣ̃λος σȣ ἠγάπησεν.

Δόξα σοι σωτήρ μȣ, τῷ ζωοποιȣ̃ντι, νεκρȣ̀ς τῷ σῷ θανάτῳ.

Νεότερος ἐγώ εἰμι, ϗ ἐξȣδενωμένος. τὰ δικαιώματά σȣ ȣ̓κ ἐ.

Πῶς ὁ δȣ̀ς τὰς πλάκας, τῷ Μωσεῖ ἐν ὄρει, ὑπὸ πλακὸς ἐκρύβη. Ἡ δικαιοσύνη σȣ δικαιοσύνη εἰς τὸν αἰῶνα, ϗ ὁ νόμος.

Εἰ ϗ ζῶσιν ἄπνȣς. ἀλλὰ τοῖς ὑπνȣ̃σιν, ἐν ᾅδȣ ζῶν ὡράθης.

Θλίψεις ϗ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σȣ μελέτη μȣ.

Εἰ ϗ θνήσκεις θέλων. ἀλλὰ σὺ δεσπόζεις, Χριστὲ νεκρῶν ϗ ζώντων. Δικαιοσύνη τὰ μαρτύριά σȣ εἰς τὸν αἰῶνα συνέτισόν.

Ἰωσὴφ κηδεύει, σὺν τῷ Νικοδήμῳ νεκροπρεπῶς τὸν Κτίστην.

Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μȣ, ἐπάκȣσόν μȣ Κύριε, τὰ δικαιώ.

Ζωοδότα σῶτερ, δόξα σȣ τῷ κράτει, τὸν ᾅδην καθελόντι.

Ἐκέκραξά σοι σῶσόν με ϗ φυλάξω τὰ μαρτύριά σȣ.

Ὕπτιον ὁρῶσα, ἡ Πάναγνός σε λόγε, μητροπρεπῶς ἐθρήνει.

Προέφθασα ἐν ἀωρίᾳ, ϗ ἐκέκραξα εἰς τȣ̀ς λόγȣς σȣ ἐπήλπι.

Ὢ γλυκύ μȣ ἔαρ, γλυκύτατόν μȣ τέκνον πȣ̃ σȣ ἔδυ τὸ κάλλος. Προέφθασαν οἱ ὀφθαλμοί μȣ πρὸς ὄρθρον, τȣ̃ μελετᾷν.

Θρῆνον συνεκίνει, ἡ Πάναγνός σȣ Μήτηρ, σȣ̃ λόγε νεκρωθέντος. Τῆς φωνῆς μȣ ἄκȣσον Κύριε κατὰ τὸ ἔλεός σȣ, κατὰ τό.

Ὢ χαρᾶς ἧς ἔσχον, οἱ κάτω καθειργμένοι, τὴν σὴν ἰδόντες δόξαν! Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίαν, ἀπὸ δὲ τȣ̃.

Θάνατον θανάτῳ, σὺ θανατοῖς Θεέ μȣ, θείᾳ σȣ δυναστείᾳ.

Ἐγγὺς εἶ σὺ Κύριε ϗ πᾶσαι αἱ ὁδοί σȣ ἀλήθεια.

Πεπλάνηται ὁ πλάνος, ὁ πλανηθεὶς λυτρȣ̃ται, σοφίᾳ σῇ Θεέ μȣ. Κατ᾽ ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σȣ, ὅτι εἰς τὸν αἰ.

Δόξα σοι τῷ ὄντι, ἐν τάφῳ ϗ ἐν θρόνῳ ᾅδῃ ϗ παντὶ τόπῳ. Ἴδε τὴν ταπείνωσίν μȣ ϗ ἐξελȣ̃ μέ. ὅτι τȣ̃ νόμȣ σȣ ȣ̓κ ἐ.

Δόξα τῇ ἐν ᾅδῃ, κοσμοσωτηρίῳ, καθόδῳ σȣ Χριστέ μȣ.

Κρῖνον τὴν κρίσιν μȣ ϗ λύτρωσαί με διὰ τὸν λόγον σȣ ζῆσον.

Δόξα σου τῷ πάθει. δόξα καὶ τῇ ταφῇ σου.

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία ὅτι τὰ δικαιώματά σου οὐκ

Σῶμα ζωηφόρον, Ἰωσὴφ κηδεύει, μετὰ τοῦ Νικοδήμου.

Οἱ οἰκτιρμοί σου πολλοὶ Κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Υἱὲ Θεοῦ Παντάναξ, Θεέ μου πλαστουργέ μου, πῶς πάθος κατεδέξω; Πολλοὶ οἱ ἐκδιώκοντές με, καὶ θλίβοντές με, ἐκ τῶν μαρ

Ἡ δάμαλις τὸν μόσχον, ἐν ξύλῳ κρεμασθέντα, ἠλάλαζεν ὁρῶσα. Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην ὅτι τὰ λόγιά σου οὐκ.

Ἡ ἄμπελος τὸν βότρυν, ὡς ἐν ληνῷ τῷ τάφῳ, σὲ κλαίει καθορῶσα. Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε ἐν τῷ ἐ

Ἀνέκραζεν ἡ Κόρη, θερμῶς δακρυρροοῦσα, τὰ σπλάγχνα κεντωμένη. Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα.

Φῶς τῶν ὀφθαλμῶν μου, γλυκύτατόν μου τέκνον, πῶς τάφῳ νῦν καλύπτῃ. Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν.

Τὸν Ἀδὰμ καὶ Εὔαν, ἐλευθερῶσαι θέλων. μὴ θρήνει Μῆτερ πάσχω. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων

Δοξάζω σου Υἱέ μου, τὴν ἄκραν εὐσπλαγχνίαν, ἧς χάριν ταῦτα πάσχεις. Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον.

Ὄξος ἐποτίσθης, καὶ χολὴν οἰκτίρμον, τὴν πάλαι λύων γεῦσιν. Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαι

Ἰκρίῳ προσεπάγης, ὁ πάλαι τὸν λαόν σου, στύλῳ νεφέλης σκέπων. Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐ

Ἔρραναν τὸν τάφον, αἱ Μυροφόροι μῦρα λίαν πρωῒ ἐλθοῦσαι.

Προσεδόκων τὸ σωτήριόν σου Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα

Ἀνάστηθι οἰκτίρμον, ἡμᾶς ἐκ τῶν βαράθρων, ἐξανιστῶν τοῦ ᾅδου. Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐ

Ἀνάστα ζωοδότα, ἡ σὲ τεκοῦσα Μήτηρ, δακρυρροοῦσα λέγει.

Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ

Σπεῦσον ἀναστῆναι, τὴν λύπην λύων λόγε, τῆς σὲ ἁγνῶς τεκούσης. Ἐγκισάτω ἡ δέησίς μου ἐνώπιόν σου Κύριε, κατὰ τὸ λό



Οὐράνιαι δυνάμεις, ἐξέστησαν τῷ φόβῳ, νεκρόν σε καθορῶσαι. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου Κύριε, κατὰ τὸ λόγι

Τοῖς πόθῳ τε καὶ φόβῳ, τὰ πάθη σου τιμῶσι, δίδου πταισμάτων λύσιν. Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον ὅταν διδάξῃς με τὰ

Ὢ φρικτὸν καὶ ξένον, θέαμα Θεοῦ λόγε· πῶς γῆ σε συγκαλύπτει; Φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ.

Φέρων πάλαι φεύγει, σωτὴρ Ἰωσὴφ σε, καὶ νῦν σε ἄλλος θάπτει. Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ἡ

Νῦν τὸ φῶς τοῦ κόσμου, τὴν γῆν τὸ πρὶν φωτίσαν, φαίνει καὶ τοῖς ἐν ᾅδῃ. Ἐπεπόθησα τὸ σωτήριόν σου Κύριε καὶ ὁ νόμ.

Ἔπλησας τὰ πάντα, τῆς σῆς οἰκτίρμον δόξης, ἐλθὼν καὶ μέχρις ᾅδου. Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίμα

Ὢ σεμναὶ γυναῖκες, παύσασθε τῶν θρήνων. ὑπνοῖ γὰρ ὁ Δεσπότης. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον τὸν.

Εἰρήνην Ἐκκλησίᾳ. λαῷ σου σωτηρίαν, δώρησαι σῇ ἐγέρσει.

Δόξα.

Ὢ Τριὰς Θεέ μου, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον.

Καὶ νῦν. Θεοτοκίον.

Ἰδεῖν τὴν τοῦ Υἱοῦ σου, Ἀνάστασιν Παρθένε, ἀξίωσον σοὺς δούλους.

Καὶ εὐθὺς τὰ Εὐλογητάρια, εἰς ἦχον πλ. α΄.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ, σωτὴρ τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ Κύριε. δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μῦρα. συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος. προσεφθέγγετο ταῖς Μυροφόροις. Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἤσθητε. ὁ σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ Κύριε. δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωῒ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι. ἀλλ' ἐπέστη πρὸς αὐτὰς ὁ Ἄγγελος καὶ εἶπε. Θρήνου ὁ καιρὸς, πέπαυται μὴ κλαίετε, τὴν Ἀνάστασιν δὲ, Ἀποστόλοις εἴπατε. Εὐλογητὸς εἶ Κύριε. δίδαξόν με.

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου Σῶτερ ἐνηχοῦντο. Ἄγγελος γὰρ πρὸς αὐτὰς ἔφη λέγων. τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος. Δόξα.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφὶμ, κράζοντες τὸ, ἅγιος, ἅγιος, ἅγιος, εἶ Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Ζωοδότην τεκοῦσα, ἁμαρτίας παρθένε, τὸν Ἀδὰμ ἐλυτρώσω, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς. ἴθυνε πρὸς ταύτην δὲ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος. Ἀλληλούϊα, ἀλλ. Ἀλλ. δόξα σοι ὁ Θεός.

Λέγεται ἐκ γ'. Εἶτα Συναπτὴ μικρά. καὶ Ἐκφώνησις.

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ. καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα κάθισμ. ἦχ. α'. Τὸν τάφον σου Σωτὴρ.

Σινδόνι καθαρᾷ, καὶ ἀρώμασι θείοις, τὸ σῶμα τὸ σεπτὸν, ἐξαιτήσας Πιλάτου, μυρίζει καὶ τίθησιν, Ἰωσὴφ καινῷ μνήματι. ὅθεν ὄρθριαι, αἱ Μυροφόροι γυναῖκες, ἀνεβόησαν. δεῖξον ἡμῖν ὡς προεῖπας, Χριστὲ τὴν ἀνάστασιν.

Δόξα τὸ αὐτό. Καὶ νῦν Ὅμοιον.

Ἐξέστησαν χοροὶ, τῶν Ἀγγέλων ὁρῶντες, τὸν ἐν τοῖς τοῦ Πατρὸς καθεζόμενον κόλποις. πῶς τάφῳ κατατίθεται, ὡς



θνητὸς ὁ ἀθάνατος. ὃν τὰ τάγματα, τὰ τῶν Ἀγγέλων κυκλοῦσι, καὶ δοξάζουσι, σὺν τοῖς νεκροῖς ἐν τῷ ᾅδῃ, ὡς Κτίστην καὶ Κύριον.

Εἶτα γίνεται Ἀνάγνωσις εἰς τὸ κατὰ Ματθαῖον. ,, Τῇ ἐπαύριον ,, τοῦ Χρυσοστόμου. Καὶ εὐθὺς τὸν Ν'. Καὶ ψάλλομεν τοὺς Εἱρμοὺς ἀνὰ β'. καὶ τὰ Τροπάρια εἰς ιβ'. καὶ πάλιν τοὺς Εἱρμοὺς οἱ δύο Χοροί. Ἔστι δὲ ὁ Κανὼν, ἀπὸ πρώτης ᾠδῆς ἕως ς'. Ποίημα Μάρκου Μοναχοῦ, Ἐπισκόπου Ἰδροῦντος. Οἱ δὲ εἱρμοὶ, Ποίημα γυναικὸς τινὸς Κασίας ὀνομαζομένης (1) Ἀπὸ δὲ ς' ᾠδῆς καὶ ἐφεξῆς, Ποίημα τοῦ Κυρίου Κοσμᾶ. Ὁ Κανὼν, οὗ ἡ ἀκροστιχίς.

Καὶ σήμερον δὲ, Σάββατον μέλπω μέγα.

Ὠδὴ α'. ἦχ. πλ. β'. Ὁ Εἱρμός.

Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι. διώκτην τύραννον, ὑπὸ γῆν ἔκρυψαν, τῶν σεσωσμένων οἱ παῖδες. ἀλλ' ἡμεῖς ὡς αἱ Νεάνιδες, τῷ Κυρίῳ ᾄσωμεν. ἐνδόξως γὰρ δεδόξασται.

Κύριε Θεέ μου, ἐξόδιον ὕμνον καὶ ἐπιτάφιον, ᾠδήν σοι ᾄσομαι, τῷ τῇ ταφῇ σου ζωῆς μοι, τὰς εἰσόδους διανοίξαντι, καὶ θανάτῳ θάνατον, καὶ ᾅδην θανατώσαντι.

Ἄνω σε ἐν θρόνῳ, καὶ κάτω ἐν τάφῳ τὰ ὑπερκόσμια, καὶ ὑποχθόνια, κατανοοῦντα Σωτήρ μου, ἐδονεῖτο τῇ νεκρώσει σου. ὑπὲρ νοῦν ὠράθης γὰρ, νεκρὸς ζωαρχικώτατος.

Ἵνα σου τῆς δόξης, τὰ πάντα πληρώσῃς κατεπεφοίτηκας, ἐν κατωτάτοις τῆς γῆς. ἀπὸ γὰρ σοῦ οὐκ ἐκρύβη, ἡ ὑπόστασίς μου ἡ ἐν Ἀδὰμ. καὶ ταφεὶς φθαρέντα με, καινοποιεῖς φιλάνθρωπε. Ὠδὴ. γ'. Ὁ Εἱρμός.

Σὲ τὸν

(1) Ἐν παλαιοῖς δὲ χειρογράφοις Θεοτοκαρίοις σώζονται Κανόνες εἰς τὴν Θεοτόκον, τοῦ πολλῷ πρὸ τῆς Κασίας ὄντος Ἀνδρέου Κρήτης, Εἱρμοὺς ἔχοντες τὸ, Κύματι Θαλλάσσης, καὶ τοὺς λοιποὺς.

Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως. ἡ κτίσις κατιδοῦσα, ἐν τῷ κρανίῳ κρεμάμενον, θάμβει πολλῷ συνείχετο, οὐκ ἔστιν ἅγιος, πλήν σου Κύριε κραυγάζουσα.

Σύμβολα τῆς ταφῆς σου, παρέδειξας τὰς ὁράσεις πληθύνας. νῦν δὲ τὰ κρύφιά σου, θεανδρικῶς διετράνωσας, ϗ τοῖς ἐν ᾅδῃ δέσποτα, οὐκ ἔστιν ἅγιος, πλήν σου Κύριε κραυγάζουσιν.

Ἥπλωσας τὰς παλάμας, ϗ ἥνωσας τὰ τὸ πρὶν διεστῶτα. καταστολῇ δὲ Σῶτερ, τῇ ἐν σινδόνι ϗ μνήματι, πεπεδημένους ἔλυσας, οὐκ ἔστιν ἅγιος, πλήν σου Κύριε κραυγάζοντας.

Μνήματι ϗ σφραγῖσιν, ἀθάνατε συνεσχέθης βουλήσει. ϗ γὰρ τὴν δύναμίν σου, ταῖς ἐνεργείαις ἐγνώρισας, θεουργικῶς τοῖς μέλπουσιν. οὐκ ἔστιν ἅγιος, πλήν σου Κύριε φιλάνθρωπε.

Κάθισ. ἦχ. α'. Λέγομεν αὐτὸ δίς.

Τὸν τάφον σου Σωτήρ. στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, γυναιξὶ τὴν ἀνάστασιν. σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην. σοὶ προσπίπτομεν, τῷ ἀναστάντι ἐκ τάφου, ϗ μόνῳ Θεῷ ἡμῶν. Δόξα. Καὶ νῦν. πάλιν τὸ αὐτό.

Ὠδὴ, δ'. Ὁ Εἱρμός.

Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν, προορῶν Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα. σὺ δυναστῶν διέκοψας κράτος ἀγαθὲ, ὁμιλῶν τοῖς ἐν ᾅδῃ ὡς παντοδύναμος.

Ἑβδόμην σήμερον ἡγίασας, ἣν εὐλόγησας πρὶν, καταπαύσει τῶν ἔργων. παράγεις γὰρ τὰ σύμπαντα ϗ καινοποιεῖς, σαββατίζων Σωτήρ μου ϗ ἀνακτώμενος.

Ῥωμαλαιότητι τοῦ κρείττονος, ἐκνικήσαντός σου, τῆς σαρκὸς ἡ ψυχή σου, διήρηται σπαράττουσιν. ἄμφω γὰρ δεσμοὺς, τοῦ θανάτου ϗ ᾅδου, λόγε τῷ κράτει σου. (1) Ὁ ᾅ-

(1) Ἤτοι. ὦ Θεάνθρωπε λόγε, σοῦ ὑπερνικήσαντος, τῇ Ῥω-



δης λόγε συναντήσας σοι, ἐπικράνθη βροτὸν, ὁρῶν τεθεωμένον, κατάστικτον τοῖς μώλωψι, ϗ πανσθενουργὸν, τῷ φρικτῷ τῆς μορφῆς δὲ διαπεφώνηκεν.

Ὠδὴ, ε'. Ὁ Εἱρμός.

Θεοφανείας σου Χριστὲ τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν. ἀναστήσονται οἱ νεκροὶ ϗ ἐγερθήσονται, οἱ ἐν τοῖς μνημείοις, ϗ πάντες οἱ ἐν τῇ γῇ ἀγαλλιάσονται.

Νεοποιεῖς τοὺς γηγενεῖς, ὁ πλαστουργὸς, χοϊκὸς χρηματίσας. ϗ σινδὼν ϗ τάφος ὑπεμφαίνουσι, τὸ συνόν σοι λόγε μυστήριον. (1) ὁ εὐσχήμων γὰρ βουλευτὴς τὴν τοῦ σὲ φύσαντος, βουλὴν σχηματίζει, ἐν σοὶ μεγαλοπρεπῶς καινοποιοῦντός με.

Διὰ θανάτου τὸ θνητὸν διὰ ταφῆς τὸ φθαρτὸν μεταβάλλεις. ἀφθαρτίζεις γὰρ θεοπρεπέστατα, ἀπαθανατίζων τὸ πρό-

μη τῆς Θεότητος τὸ θέλημα τῆς ἀνθρωπότητος, τῆς φυσικῶς μὴ θελούσης τὸ Θάνατον, ὅς ἐστι χωρισμὸς ψυχῆς ἀπὸ σώματος, οὕτως ἐχωρίσθη ἡ ψυχή σου ἐκ τοῦ σώματος. χωρισθέντα τὰ δύω ταῦτα ἀπ' ἀλλήλων, ἐσπάραξαν τῷ κράτει σου τοὺς δεσμοὺς τοῦ θανάτου ϗ τοῦ ᾅδου, ϗ τὸ μὲν σῶμα ἐν τάφῳ τεθὲν, ἐσπάραξε τὸν θάνατον, τὸν ἐν τοῖς τάφοις κατέχοντα νεκρὰ τῶν ἀνθρώπων τὰ σώματα, ἡ δὲ ψυχὴ εἰς ᾅδην κατελθοῦσα, ἐσπάραξεν αὐτὸν κατέχοντα τὰς τῶν ἀνθρώπων ψυχάς.

(1) Εἴτουν, ἡ Σινδὼν, ϗ ὁ τάφος καινὰ ἀμφότερα ὄντα, αἰνίττονται τὸ Μυστήριον τῆς νεοποιήσεως ταύτης ϗ ἀνακαινήσεως τῶν βροτῶν, τὸ θεωρούμενον σὺν σοὶ, τῷ τῇ καινῇ Σινδόνι ἐνειληθέντι, ϗ ἐν τῷ καινῷ τάφῳ κατατεθέντι. ὁ δὲ Ἰωσὴφ, ὁ τὴν καινὴν σινδόνα ἀγοράσας, ϗ σὲ ἐνειλήσας, ϗ ὁ τὸ καινὸν μνῆμα ἔχων ϗ ἐν αὐτῷ σε καταθεὶς, καθ' ὃ μὲν εὐσχήμων, σχηματίζει, καθ' ὃ δὲ βουλευτὴς, τὴν βουλὴν τυποῖ τοῦ ἀνάρχου Πατρός σου, ὅς τις διὰ τῆς σῆς ταφῆς ϗ ἀναστάσεως ἐμὲ τὸν ἄνθρωπον μεγαλοπρεπῶς ϗ θεοπρεπῶς ἐκαινοποίησεν.

πρόσλημμα. ἡ γὰρ σάρξ σȣ διαφθορὰν ȣ̓κ εἶδε Δέσποτα. ȣ̓δὲ ἡ ψυχή σȣ, εἰς ᾅδην ξενοπρεπῶς ἐγκαταλέλειπται.

Ἐξ ἀλοχεύτȣ προελθὼν, ϗ λογχευθεὶς τὴν πλευρὰν πλαστȣργέ μȣ, ἐξ αὐτῆς εἰργάσω τὴν ἀνάπλασιν, τὴν τῆς Εὔας Ἀδὰμ γενόμενος, ἀφυπνώσας ὑπερφυῶς, ὕπνον φυσίζωον, ϗ Ζωὴν ἐγείρας, ἐξ ὕπνȣ ϗ τῆς πλευρᾶς ὡς παντοδύναμος. (1) Ὠδὴ ς'. Ὁ Εἱρμός.

Συνεσχέθη, ἀλλ' ȣ̓ κατεσχέθη, στέρνοις κητῴοις Ἰωνᾶς. σȣ̃ γὰρ τὸν τύπον φέρων, τȣ̃ παθόντος ϗ ταφῇ δοθέντος, ὡς ἐκ θαλάμȣ τȣ̃ θηρὸς ἀνέθορε. προσεφώνει δὲ τῇ κȣστωδίᾳ. οἱ φυλασσόμενοι μάταια ϗ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατελίπετε.

Ἀνῃρέθης, ἀλλ' ȣ̓ διῃρέθης, λόγε ἧς μετέσχες σαρκός. εἰ γὰρ ϗ λέλυταί σȣ, ὁ ναὸς ἐν τῷ καιρῷ τȣ̃ πάθȣς. ἀλλὰ ϗ ȣ̔́τω μία ἦν ὑπόστασις, τῆς Θεότητος ϗ τῆς σαρκός σȣ. ἐν ἀμφοτέροις γὰρ, εἷς ὑπάρχεις Υἱὸς, λόγος τȣ̃ Θεȣ̃ Θεὸς ϗ ἄνθρωπος.

Βροτοκτόνον, ἀλλ' ȣ̓ θεοκτόνον, ἔφυ τὸ πταῖσμα τȣ̃ Ἀδάμ. εἰ γὰρ ϗ πέπονθέ σȣ, τῆς σαρκὸς ἡ χοϊκὴ ȣ̓σία. ἀλλ' ἡ Θεότης ἀπαθὴς διέμεινε. τὸ φθαρτὸν δέ σȣ πρὸς ἀφθαρσίαν μετεστοιχείωσας, ϗ ἀφθάρτȣ ζωῆς ἔδειξας, πηγὴν ἐξ ἀναστάσεως.

Βασιλεύει ἀλλ' ȣ̓κ αἰωνίζει, ᾅδης τȣ̃ γένȣς τῶν βροτῶν. σὺ γὰρ

(1) Οὕτως ἐν πολλοῖς χειρογράφοις παλαιοῖς εὕρηται γεγραμμένον. τȣ̃ ὕπνȣ ἀποδιδομένȣ τῷ Χριστῷ, ϗ ȣ̓χὶ τῇ Εὔα. Ἐν τοῖς νεωτέροις γε μὴν Τριῳδίοις ȣ̔́τω γράφεται ,, ἐξ ὕπνȣ ϗ τῆς φθορᾶς ὡς παντοδύναμος. τȣ̃ ὕπνȣ ἀποδιδομένȣ, ȣ̓χὶ τῷ Χριστῷ, ἀλλὰ τῇ Ζωῇ, ἤτοι τῇ Εὔα. ἥτις διὰ τȣ̃ ὕπνȣ ϗ τȣ̃ θανάτȣ τȣ̃ Χριστȣ̃, ἠγέρθη ἐκ τȣ̃ ὕπνȣ ἤτοι τȣ̃ θανάτȣ, ϗ ἐκ τῆς φθορᾶς. καταλληλότερα ὅμως ἡ ἔννοια δοκεῖ κατὰ τὰ παλαιὰ Τριῴδια, ὡς ἐνταῦθα κεῖται.



σὺ γὰρ τεθεὶς ἐν τάφῳ, κραταιὲ ζωαρχικῇ παλάμῃ, τὰ τȣ̃ θανάτȣ κλεῖθρα διεσπάραξας, ϗ ἐκήρυξας τοῖς ἀπ' αἰῶνος ἐκεῖ καθεύδȣσι, λύτρωσιν ἀψευδῆ, Σῶτερ γεγονὼς νεκρῶν πρωτότοκος. Κοντάκιον. ἦχ. πλ. β'.

Τὴν ἄβυσσον ὁ κλείσας, νεκρὸς ὁρᾶται. ϗ σμύρνῃ ϗ σινδόνι ἐνειλημμένος ἐν μνημείῳ κατατίθεται, ὡς θνητὸς ὁ ἀθάνατος. γυναῖκες δὲ αὐτὸν ἦλθον μυρίσαι, κλαίȣσαι πικρῶς ϗ ἐκβοῶσαι. τȣ̃το Σάββατόν ἐστι τὸ ὑπερευλογημένον. ἐν ᾧ Χριστὸς ἀφυπνώσας, ἀναστήσεται τριήμερος. Ὁ οἶκος.

Ὁ συνέχων τὰ πάντα ἐπὶ σταυρȣ̃ ἀνυψώθη. ϗ θρηνεῖ πᾶσα ἡ κτίσις, τȣ̃τον βλέπȣσα κρεμάμενον γυμνὸν ἐπὶ ξύλȣ. ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε. ϗ τὸ φέγγος οἱ ἀστέρες ἀπεβάλλοντο. ἡ γῆ δὲ σὺν πολλῷ τῷ φόβῳ συνεκλονεῖτο. ἡ θάλασσα ἔφυγε. ϗ αἱ πέτραι διεῤῥήγνυντο. μνημεῖα δὲ πολλὰ ἠνεῴχθησαν, ϗ σώματα ἠγέρθησαν ἁγίων ἀνδρῶν. ᾅδης κάτω στενάζει. ϗ Ἰȣδαῖοι σκέπτονται συκοφαντῆσαι Χριστȣ̃ τὴν ἀνάστασιν. τὰ δὲ γύναια κράζȣσι. Τȣ̃το Σάββατόν ἐστι τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας, ἀναστήσεται τριήμερος.

Στίχ. ,, Μάτην φυλάττεις τὸν τάφον Κȣστωδία.
,, Οὐ γὰρ καθέξει τύμβος αὐτοζωΐαν.

Τῷ ἁγίῳ ϗ μεγάλῳ σαββάτῳ, τὴν Θεόσωμον ταφὴν τȣ̃ Κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριστȣ̃, τȣ̃ Θεȣ̃ ϗ Σωτῆρος ἡμῶν, ϗ τὴν εἰς ᾅδȣ κάθοδον ἑορτάζομεν. Εἰ βȣ́λει δὲ, λέγε ὅλον τὸ συναξάριον ἐν τῷ Τριῳδίῳ. Εἶτα τέλος ȣ̔́τω.

Τῇ ἀνεκφράστῳ σȣ συγκαταβάσει Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς, Ἀμήν. Ὠδὴ, ζ'. Ὁ Εἱρμός.

Ἄφραστον θαῦμα! ὁ ἐν καμίνῳ ῥυσάμενος τȣ̀ς ὁσίȣς παῖδας ἐκ φλογὸς, ἐν τάφῳ νεκρὸς, ἄπνȣς κατατίθεται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδȣ́ντων. Λυτρωτὰ ὁ Θεὸς εὐλογη-

τὸς εἶ.

Τέτρωται ᾅδης, ἐν τῇ καρδίᾳ δεξάμενος, τὸν τρωθέντα λόγχῃ τὴν πλευρὰν, καὶ στένει πυρὶ, θείῳ δαπανώμενος, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων. λυτρωτὰ, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὄλβιος τάφος, ἐν ἑαυτῷ γὰρ δεξάμενος, ὡς ὑπνοῦντα τὸν δημιουργὸν, ζωῆς θησαυρὸς, θεῖος ἀναδέδεικται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων. Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Νόμῳ θανόντων, τὴν ἐν τῷ τάφῳ κατάθεσιν, ἡ τῶν ὅλων δέχεται ζωὴ, καὶ τοῦτον πηγὴν, δείκνυσιν ἐγέρσεως, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων. Λυτρωτὰ, ὁ Θεὸς εὐλογητὸς εἶ.

Μία ὑπῆρχεν, ἡ ἐν τῷ ᾅδῃ ἀχώριστος, καὶ ἐν τάφῳ καὶ ἐν τῇ Ἐδὲμ, Θεότης Χριστοῦ, σύν Πατρὶ καὶ Πνεύματι, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων. Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠ,δὴ, ή. Ὁ Εἱρμός.

Ἔκστηθι φρίττων οὐρανέ. καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς. ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται. ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται. ὃν παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε. λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Λέλυται ἄχραντος ναὸς, τὴν πεπτωκυῖαν δὲ, συνανίστησι σκηνήν. Ἀδὰμ γὰρ τῷ προτέρῳ δεύτερος, ὁ ἐν ὑψίστοις οἰκῶν, κατῆλθε μέχρις ᾅδου ταμείων. ὃν παῖδες εὐλογεῖτε. Ἱερεῖς ἀνυμνεῖτε. λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Πέπαυται τόλμα μαθητῶν, Ἀριμαθαῖος δὲ ἀριστεύει Ἰωσήφ. νεκρὸν γὰρ, καὶ γυμνὸν θεώμενος, τὸν ἐπὶ πάντων Θεὸν, αἰτεῖται καὶ κηδεύει κραυγάζων. οἱ παῖδες εὐλογεῖτε. Ἱερεῖς ἀνυμνεῖτε. λαὸς ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὢ τῶν θαυμάτων τῶν καινῶν. ὢ ἀγαθότητος ὢ ἀφράστου ἀνοχῆς ἑκὼν γὰρ ὑπὸ γῆν σφραγίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ πλάνος Θεὸς συκοφαντεῖται. ὃν παῖδες εὐλογεῖτε. Ἱερεῖς ἀνυμνεῖτε. λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.



Ὠ,δὴ, θ'. Ὁ Εἱρμός.

Μὴ ἐποδύρου μου Μῆτερ καθορῶσα ἐν τάφῳ ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς συνέλαβες Υἱόν. ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι, καὶ ὑψώσω ἐν δόξῃ, ἀπαύστως ὡς Θεὸς τοὺς ἐν πίστει καὶ πόθῳ σὲ μεγαλύνοντας.

Ἐπὶ τῷ ξένῳ σου τόκῳ, τὰς ὠδῖνας φυγοῦσα, ὑπερφυῶς ἐμακαρίσθην ἄναρχε Υἱέ. νῦν δέ σε Θεέ μου, ἄπνουν ὁρῶσα νεκρὸν, τῇ ῥομφαίᾳ τῆς λύπης σπαράττομαι δεινῶς. ἀλλ' ἀνάστηθι, ὅπως μεγαλυνθήσωμαι.

Γῆ με καλύπτει ἑκόντα, ἀλλὰ φρίττουσιν ᾅδου οἱ πυλωροὶ, ἠμφιεσμένον βλέποντες στολὴν, ᾑμαγμένην Μῆτερ τῆς ἐκδικήσεως. τοὺς ἐχθροὺς ἐν σταυρῷ γὰρ, πατάξας ὡς Θεὸς, ἀναστήσομαι αὖθις καὶ μεγαλύνω σε.

Ἀγαλλιάσθω ἡ κτίσις. εὐφραινέσθωσαν πάντες οἱ γηγενεῖς. ὁ γὰρ ἐχθρὸς ἐσκύλευται ᾅδης. μετὰ μύρων γυναῖκες προσυπαντάτωσαν. τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ, λυτροῦμαι παγγενῆ, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐξαναστήσομαι.

Ἐξαποστειλάριον. ἦχος β'. Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. τοῦτο λέγεται ἐκ τρίτου, καὶ μόνον, καὶ ἄλλο οὐχί. εἰς τοὺς αἴνους ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχ. ἰδιόμελα τοὺς γ'. δευτέρους, καὶ ἕνα πλβ'. ἦχος β'.

Σήμερον συνέχει τάφος, τὸν συνέχοντα παλάμῃ τὴν κτίσιν. καλύπτει λίθος, τὸν καλύψαντα ἀρετῇ τοὺς οὐρανούς. ὑπνοῖ ἡ ζωὴ, καὶ ᾅδης τρέμει, καὶ Ἀδὰμ τῶν δεσμῶν ἀπολύεται. δόξα τῇ σῇ οἰκονομίᾳ, δι' ἧς τελέσας πάντα σαββατισμὸν αἰώνιον, ἐδωρήσω ἡμῖν τὴν παναγίαν ἐκ νεκρῶν σου ἀνάστασιν. ἦχος β'.

Τί τὸ ὁρώμενον θέαμα; τίς ἡ παροῦσα κατάπαυσις; ὁ βασιλεὺς τῶν αἰώνων, τὴν διὰ πάθους τελέσας οἰκονομίαν, ἐν τάφῳ σαββατίζει, καινὸν ἡμῖν παρέχων σαββατισμόν. αὐ-

τῷ βοήσωμεν. ἀνάϛα ὁ Θεὸς κρῖνον τὴν γῆν, ὅτι σὺ βασιλεύεις εἰς τȣ̀ς αἰῶνας, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος. ἦχ. β′.

Δεῦτε ἴδωμεν τὴν ζωὴν ἡμῶν, ἐν τάφῳ κειμένην, ἵνα τȣ̀ς ἐν τάφοις κειμένȣς ζωοποιήσῃ. δεῦτε σήμερον, τὸν ἐξ Ἰȣ́δα ὑπνȣ̃ντα θεώμενοι, προφητικῶς αὐτῷ ἐκβοήσωμεν. ἀναπεσὼν κεκοίμησαι ὡς λέων. τίς ἐγερεῖ σε βασιλεῦ; ἀλλ'. ἀνάϛηθι αὐτεξȣσίως, ὁ δȣ̀ς ἑαυτὸν ὑπὲρ ἡμῶν ἑκȣσίως Κύριε δόξα σοι. ἦχος πλ. β′.

Ἠτήσατο Ἰωσὴφ, τὸ σῶμα τȣ̃ Ἰησȣ̃, ϗ ἀπέθετο ἐν τῷ καινῷ αὐτȣ̃ μνημείῳ. ἔδει γὰρ αὐτὸν ἐκ τάφȣ, ὡς ἐκ παϛάδος προελθεῖν. ὁ συντρίψας κράτος θανάτȣ. ϗ ἀνοίξας πύλας παραδείσȣ ἀνθρώποις δόξα σοι. Δόξα ἦχος πλ. β′.

Τὴν σήμερον μυϛικῶς, ὁ μέγας Μωϋσῆς προδιετυπȣ̃το λέγων. ϗ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην. τȣ̃το γάρ ἐϛι τὸ εὐλογημένον σάββατον. αὕτη ἐϛὶν ἡ τῆς καταπαύσεως ἡμέρα, ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτȣ̃, ὁ μονογενὴς Υἱὸς τȣ̃ Θεȣ̃, διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας, τῇ σαρκὶ σαββατίσας. ϗ εἰς ὃ ἦν, πάλιν ἐπανελθὼν διὰ τῆς ἀναϛάσεως (1) ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον, ὡς μόνος ἀ-

(1) Τὸ παρὸν τροπάριον, ϗ μάλιϛα ἡ ῥῆσις αὕτη, ἠρανίσθησαν ἐκ τȣ̃ εἰς τὸ Πάσχα ά. λόγȣ Γρηγορίȣ τȣ̃ Νύσσης. Δηλοῖ δὲ, ὅτι ὁ Υἱὸς τȣ̃ Θεȣ̃ ἐπανῆλθεν εἰς ὃ ἦν, ἤτȣν, ἢ εἰς τὴν ζωὴν, ἣν διὰ τȣ̃ θανάτȣ ἀπέβαλεν. ἢ μᾶλλον εἰπεῖν, εἰς τὸ ἀξίωμα τῆς οἰκείας Θεότητος, ϗ τὴν δόξαν. εἰς ὃ ἦν πρὸ τῆς σαρκώσεως. εἰ γὰρ ϗ ἐνανθρωπήσας ἀνελλιπὲς εἶχεν αὐτὸ, ὡς Θεὸς. τῷ λόγῳ γεμὴν τῆς ἀνθρωπότητος αὐτȣ̃, παθητῆς, ϗ φθαρτῆς, ϗ θνητῆς ȣ̓́σης, ἐκωλύετο ὁλόκληρον ἔχειν τὸ τῆς θεότητος ἀξίωμα ϗ τὴν δόξαν. Μετὰ δὲ τὴν ἀνάϛασιν ἐπανῆλθεν εἰς αὐτὸ, ϗ αὐτῆς τῆς ἀνθρωπότητος αὐτȣ̃ ἀφθαρτισθείσης αὐτῷ τῇ φυσικῇ δόξῃ τῆς ἰδίας Θεότητος „ Δόξασόν με γὰρ φησι, Πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ



νος ἀγαθὸς ϗ φιλάνθρωπος.

Καὶ νῦν Ὑπερευλογημένη. Δοξολογία μεγάλη. ὁ δὲ Ἱερεὺς ἀλλάσσει ὅλην τὴν ἱερατικὴν ϛολήν. ϗ εἰσοδεύει μετὰ τȣ̃ ἁγίȣ Εὐαγγελίȣ. μετὰ δὲ τὸ Τρισάγιον, λέγει Ὁ Ἱερεύς. Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία. ϗ ἡμεῖς τὸ Τροπάριον ἅπαξ. Ὁ εὐσχήμων Ἰωσήφ. ϗ λέγομεν Τροπάριον τῆς Προφητείας. ἦχ. β′.

Ὁ συνέχων τὰ πέρατα, τάφῳ συσχεθῆναι κατεδέξω Χριϛὲ, ἵνα τῆς τȣ̃ ᾅδȣ καταπτώσεως, λυτρώσῃς τὸ ἀνθρώπινον, ϗ ἀθανατίσας, ζωώσῃς ἡμᾶς, ὡς θεὸς ἀθάνατος.

Προκείμ. ἦχ. δ′. Ἀνάϛα Κύριε βοήθησον ἡμῖν, ϗ λύτρωσαι ἡμᾶς. Ὁ θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκȣ́σαμεν.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγν. (κεφ. λζ′. 1.)

Ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίȣ, ϗ ἐξήγαγέ με, ἐν Πνεύματι Κυρίȣ, ϗ ἔθετό με ἐν μέσῳ τȣ̃ πεδίȣ. ϗ τȣ̃το ἦν μεϛὸν ὀϛέων ἀνθρωπίνων. ϗ περιήγαγέ με ἐπ' αὐτὰ, κύκλωθεν κύκλῳ. ϗ ἰδȣ̀ πολλὰ σφόδρα, ἐπὶ προσώπȣ τȣ̃ πεδίȣ. ϗ ἰδȣ̀ ξηρὰ σφόδρα ϗ εἶπε πρός με. Υἱὲ ἀνθρώπȣ, εἰ ζήσεται τὰ ὀϛᾶ τὰ ξηρὰ ταῦτα; ϗ εἶπον. Κύριε Κύριε, σὺ ἐπίϛασαι ταῦτα. ϗ εἶπε πρός με Υἱὲ ἀνθρώπȣ, προφήτευσον ἐπὶ τὰ ὀϛᾶ ταῦτα. ϗ ἐρεῖς αὐτοῖς. τὰ ὀϛὰ τὰ ξηρὰ, ἀκȣ́σατε λόγον Κυρίȣ. Τάδε λέγει Κύριος τοῖς ὀϛέοις τȣ́τοις. ἰδȣ̀ ἐγὼ φέρω εἰς ἡμᾶς πνεῦμα ζωῆς, ϗ δώσω εἰς ἡμᾶς νεῦρα, ϗ ἀνάξω εἰς ἡμᾶς σάρκας, ϗ ἐκτενῶ ἐφ' ὑμᾶς δέρμα, ϗ δώσω εἰς ὑμᾶς πνεῦμά μȣ, ϗ ζήσεσθε. ϗ γνώσεσθε, ὅτι ἐγώ εἰμι Κύριος. ϗ προεφήτευσα καθὼς ἐνετείλατό μοι Κύριος. ϗ ἐγένετο φωνὴ ἐν τῷ με

δόξῃ ᾗ εἶχον πρὸ τȣ̃ τὸν κόσμον εἶναι παρὰ σοί (Ἰωάν. ιζ′. 5). Διὸ ϗ κατὰ τὴν Κυριακὴν τȣ̃ Πάσχα, Θεολογικὸν ἀναγινώσκεται Εὐαγγέλιον τȣ̃ πρώτȣ τῶν Θεολόγων Ἰωάννȣ. ὡς παραϛατικὸν τȣ̃ ἀξιώματος τῆς τȣ̃ λόγȣ Θεότητος. πρὸς ὃ ἐπανῆλθε διὰ τῆς ἀναϛάσεως.

τῷ με προφητεῦσαι. ϗ ἰδȣ̀ σεισμὸς, ϗ προσήγαγε τὰ ὀςᾶ ἕκαςον πρὸς τὴν ἁρμονίαν αὐτȣ̃. ϗ εἶδον, ϗ ἰδȣ̀ ἐπ᾽ αὐτὰ νεῦρα, ϗ σάρκες ἐφύοντο, ϗ ἀνέβαινον ἐπ᾽ αὐτὰ δέρμα ἐπάνω. ϗ πνεῦμα ȣ̓κ ἦν ἐν ἑαυτοῖς. ϗ εἶπε πρός με. προφήτευσον, ϗ εἶπον τῷ πνεύματι. τάδε λέγει Κύριος Κύριος. ἐκ τῶν τεσσάρων πνευμάτων, ἐλθέτω Πνεῦμα, ϗ ἐμφύσησον εἰς τȣ̀ς νεκρȣ̀ς τȣ́τȣς, ϗ ζησάτωσαν. ϗ προεφύτευσα καθ᾽ ὅτι ἐνετείλατό μοι. ϗ εἰσῆλθεν εἰς αὐτȣ̀ς τὸ Πνεῦμα, ϗ ἔζησαν. ϗ ἔςησαν ἐπὶ τῶν ποδῶν αὐτῶν, συναγωγὴ πολλὴ, σφόδρα σφόδρα. ϗ ἐλάλησε Κύριος πρός με, λέγων. Υἱὲ ἀνθρώπȣ, τὰ ὀςᾶ ταῦτα, πᾶς οἶκος Ἰσραὴλ ἐςιν. αὐτοὶ λέγȣσι, ξηρὰ γέγονε τὰ ὀςᾶ ἡμῶν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν. διὰ τȣ̃το προφήτευσον, ϗ εἶπον πρὸς αὐτȣ̀ς. Τάδε λέγει Κύριος Κύριος. ἰδȣ̀ ἐγὼ ἀνοίγω τὰ μνήματα ὑμῶν. ϗ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν, λαός μȣ ϗ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τȣ̃ Ἰσραήλ. ϗ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ ἀνοῖξαί με τȣ̀ς τάφȣς ὑμῶν, τȣ̃ ἀναγαγεῖν ὑμᾶς ἐκ τῶν τάφων ὑμῶν, λαός μȣ ϗ δώσω τὸ Πνεῦμά μȣ ἐφ᾽ ὑμᾶς, ϗ ζήσεσθε. ϗ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν. ϗ γνώσεσθε, ὅτι ἐγὼ Κύριος, ἐλάλησα ϗ ποιήσω. λέγει Κύριος Κύριος.

Προκείμενον. ἦχ. βαρὺς Ἀνάςηθι Κύριε ὁ Θεός μȣ ὑψωθήτω ἡ χείρ σȣ. ςίχ. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ.

Ὁ Ἀπόςολος Πρὸς Κορινθίȣς ά. ἐπιςολῆς Παύλȣ·

ΑΔελφοὶ, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. Ἐκκαθάρατε ȣ̓̃ν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθὼς ἐςὲ ἄζυμοι· ϗ γὰρ τὸ Πάσχα, ὑπὲρ ἡμῶν ἐτύθη Χριςός. Ὥςε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας. ϗ πονηρίας. ἀλλ᾽ ἐν ἀζύμοις εἰλικρινείας, ϗ ἀληθείας. Χριςὸς γὰρ ὑμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τȣ̃ νόμȣ, γενόμενος, ὑπὲρ ἡμῶν κατάρα. γέγραπται γάρ. ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλȣ. ἵνα εἰς τὰ Ἔθνη ἡ εὐλογία τȣ̃ Ἀβραὰμ γένηται ἐν Χριςῷ Ἰησȣ̃. ἵνα τὴν ἐπαγγελίαν τȣ̃ Πνεύματος, λάβωμεν διὰ τῆς πίςεως.



Ἀλληλ. ἦχ. πλά. Ἀναςήτω ὁ Θεὸς, ϗ διασκορπισθήτωσαν
ςίχ. Ὡς ἐκλείπει καπνὸς, ἐκλιπέτωσαν· ὡς τήκεται κηρὸς
ςίχ. Οὕτως ἀπολȣ̃νται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπȣ τȣ̃ Θεȣ̃

Εὐαγγέλιον ἐκ τȣ̃ κατὰ Ματθαῖον.

Τῇ ἐπαύριον, ἥτις ἐςὶ μετὰ τὴν Παρασκευήν.

Ἐκτενής. Εἴπωμεν πάντες. Εἶτα, Πληρώσωμεν τὴν ἑωθινήν. Καὶ τὰ λοιπὰ ὡς ἔθος. Καὶ ἀπόλυσις.

Τροπάριον κατανυκτικὸν Συμεῶνος τȣ̃ Μεταφραςȣ̃, ψαλλόμενον τοῖς βȣλομένοις εἰς ἦχον πλά.

ΤΟ'ν Ἥλιον κρύψαντα τὰς ἰδίας ἀκτῖνας. ϗ τὸ καταπέτασμα τȣ̃ ναȣ̃ διαῤῥαγὲν, τῷ τȣ̃ σωτῆρος θανάτῳ, ὁ Ἰωσὴφ θεασάμενος, προσῆλθε τῷ Πιλάτῳ, ϗ ἱκετεύει λέγων. δός μοι τȣ̃τον τὸν ξένον, τὸν ἐκ βρέφȣς ὡς ξένον, ξενωθέντα ἐν κόσμῳ. δός μοι τȣ̃τον τὸν ξένον, ὃν ὁμόφυλοι μισȣ̃ντες, θανατȣ̃σιν ὡς ξένον. δός μοι τȣ̃τον τὸν ξένον, ὃν ξενίζομαι βλέπειν, τȣ̃ θανάτȣ ὡς ξένον. δός μοι τȣ̃τον τὸν ξένον, ὅς τις οἶδε ξενίζειν τȣ̀ς πτωχȣ́ς τε ϗ ξένȣς. δός μοι τȣ̃τον τὸν ξένον, ὃν Ἑβραῖοι τῷ φθόνῳ, ἀπεξένωσαν κόσμȣ. δός μοι τȣ̃τον τὸν ξένον, ἵνα κρύψω ἐν τάφῳ, ὃς ὡς ξένος ȣ̓κ ἔχει, τὴν κεφαλὴν πȣ̃ κλίνῃ. δός μοι τȣ̃τον τὸν ξένον, ὃν ἡ Μήτηρ ὁρῶσα, νεκρωθέντα ἐβόα. ὦ Υἱὲ ϗ Θεέ μȣ. εἰ ϗ τὰ σπλάγχνα τιτρώσκομαι, ϗ τὴν καρδίαν σπαράττομαι, νεκρόν σε καθορῶσα· ἀλλὰ τῇ σῇ Ἀναςάσει θαῤῥȣ̃σα σὲ δοξάζω. Τȣ́τοις τοίνυν τοῖς λόγοις, δυσωπήσας Πιλάτον, ὁ εὐσχήμων λαμβάνει τȣ̃ Σωτῆρος τὸ σῶμα. ϗ φόβῳ ἐν σινδόνι ἐνειλήσας ϗ σμύρνῃ, κατέθετο ἐν τάφῳ, τὸν παρέχοντα πᾶσι,

ζωὴν αἰώνιον καὶ τὸ μέγα ἔλεος.

Τὸ Τροπάριον τοῦτο ἔξω καὶ τετυπωμένον ἐν τῷ κατ' ἀρχὰς ῥηθέντι τριῳδίῳ τοῦ Παντοκράτορος (εἰ καὶ ὀλίγον παρηλλαγμένον) συνεφανίσθη δὲ ἐκ τοῦ εἰς τὴν θεόσωμον ταφὴν ἐπιγραφομένου λόγου τῷ ἁγίῳ Ἐπιφανίῳ.

Σημείωσαι ὅτι ὁ Κανὼν τοῦ μεγάλου σαββάτου ψάλλεται δὶς, ἐν τε τῷ μεγάλῳ σαββάτῳ, καὶ ἐν τῷ ὄρθρῳ τῆς μεγάλης Κυριακῆς τοῦ Πάσχα ἀντὶ μεσονυκτικοῦ, διὰ δύω αἴτια. Τὸ πρῶτον καὶ προχειρότερον, διὰ τοὺς δύω σαββατισμοὺς καὶ καταπαύσεις, ἃς ἐποιήσατο ὁ Υἱὸς τοῦ Θεοῦ ἐν τε τῇ δημιουργίᾳ, καὶ ἐν τῇ νεουργίᾳ τῆς Κτίσεως, καθ' ἃ φησιν ὁ Νυσσαέων φωστὴρ Γρηγόριος, ἐν τῷ εἰς τὸ Πάσχα α'. λόγῳ αὐτοῦ. Τὸ δὲ Δεύτερον, καὶ μυστικώτερον. ὅτι ἡ τοῦ σαββάτου τιμὴ καὶ τὸ ἀξίωμα μετετέθη εἰς τὴν Κυριακὴν διὰ τὴν ἀνάστασιν τοῦ Κυρίου ὅπερ γὰρ ἦν πάλαι παρ' Ἰουδαίοις τὸ σάββατον, τοῦτο νῦν παρὰ χριστιανοῖς ἡ Κυριακή. Ψαλλόμενος γὰρ ἐν τῇ Κυριακῇ τοῦ Πάσχα ὁ Κανὼν οὗτος, οἱονεὶ δείκνυσιν, ὅτι παραχωρεῖ τὸ Σάββατον τῶν οἰκείων πρωτείων καὶ ἐξίσταται, παραδίδωσι δὲ ταῦτα τῇ Κυριακῇ, ὡς ὑπεραναβεβηκυίᾳ τὸν ἑβδοματικὸν Σαββατισμὸν τοῦ παρόντος αἰῶνος, καὶ ὀγδόῃ οὔσῃ, καὶ τοῦ ὀγδόου καὶ μέλλοντος αἰῶνος δηλωτικῇ.

Περὶ τοῦ ἐπιταφίου Θρήνου. Ἐκ τῶν Ὁμηροκέντρων τῶν ὑπὸ τῆς σοφωτάτης καὶ εὐσεβεστάτης βασιλίσσης Εὐδοκίας τῆς λεοντιάδος, ἐκλεγόντων ὡς αὐτή φησι περὶ ἑαυτῆς οὕτω.

Εὐδοκίη Βασίλεια λεοντιὰς εὐπατέρεια.

, Τὸν δ' ἄρ' ἐπειθ' ὑποδῦντε, δύω ἐρίηρες ἑταῖροι,
, Κάτθεσαν ἐν λεχέεσσι, φίλοι δ' ἀμφέσταν ἑταῖροι,
, Μυρόμενοι· θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
, Ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον, ἠδὲ χιτῶνα.
, Ἐν λεχέεσσι δὲ θέντες, ἑανῷ λιτὶ κάλυψαν,
, Εἰς πόδας ἐκ κεφαλῆς· καθύπερθε δὲ φάρεϊ λευκῷ.
, Ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεόροιο.
, Ἀλλὰ γὰρ οὐδέ τι οἱ χρὼς σήπετο, οὐδέ μιν εὐλαὶ,
, Ἔσθουσ' αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
, Αἰεὶ τῷ δ' ἔσται χρὼς ἔμπεδον, ἢ καὶ ἀρείων.



, Μήτηρ δ' ἥμιν ἔτικτε, καὶ ἔτρεφε τυτθὸν ἐόντα.
, Ἀμφ' αὐτῷ χυμένη ἀνεκώκυε· χερσὶ δ' ἄμυσσε,
, Στήθεά τ' ἠδ' ἀπαλὴν δειρὴν, ἰδὲ καλὰ πρόσωπα.
, Ἐκπάγλως γὰρ παιδὸς ὀδύρετο οἰχομένοιο.
, Ὀξὺ δὲ κωκύσασα κάρην λάβε παιδὸς ἑοῖο.
, Ἀμβρόσιαι δ' ἄρα χαῖται, ἐπερρώσαντο ἄνακτος.
, Τὴν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
, Καί ῥ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα.
, Τέκνον ἐμόν· πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα.
, Ζωὸς ἐών; χαλεπὸν δὲ τόδε ζωοῖσιν ὁρᾶσθαι.
, Οἴμοι τέκνον ἐμὸν· περὶ πάντων κάμμορε φωτῶν.
, Πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο φίλον τέκος αὖθι λιποίμην;
, Πῇ γὰρ ἐγὼ φίλε τέκνον ἴω; τεῦ δώμαθ' ἵκωμαι;
, Πῶς ἔτλης ἄϊδός τε κατελθέμεν; ἔνθα τε νεκροί;
, Ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε δακρυχέουσα.
, Κύσε δέ μιν κεφαλήν τε, καὶ ἄμφω φάεα καλὰ,
, Χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.
, Τέκνον· ἐμοί γε μάλιστα λελείψεται ἄλγεα λυγρά.
, Οὐ γάρ μοι θνήσκων λεχέων ἐκ χεῖρας ὄρεξας.
, Οὐδέ τι μοι εἶπες πυκινὸν ἔπος, ὦ τέκον αἰεὶ,
, Μεμνήμην νύκτας τε, καὶ ἤματα δακρυχέουσα.
, Ἀλλά με σός τε πόθος, σά τε μήδεα φαίδιμε υἱὲ,
, Σή τ' ἀγανοφροσύνη, μελιηδέα θυμὸν ἀπηύρα.
, Τῷ σ' ἄμοτον κλαίω, τεθνειότα μείλιχον αἰεί.
, Νῦν δὲ, σὺ μὲν ῥ' ἀΐδαο δόμους ὑπὸ κεύθεσι γαίης,
, Ἔρχεαι· αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις.
, Ὣς ἔφατο κλαίουσ', ἐπὶ δ' ἔστενε δῆμος ἀπείρων.
, Οὐδὲ γάρ οὐδέ τις αὐτόθ' ἐνὶ πτόλεϊ λίπετ' ἀνήρ.
, Οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος.
, Καὶ νύκτ' ὀδυρομένοισιν, ἔδυ φάος ἠελίοιο.



Τῇ ἁγίᾳ ϗ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα εἰς τὸν ὄρθρον. Τοῦ Ἱερέως ἔξω τοῦ Νάρθηκος εἰπόντος, ὡς σύνηθες, τὸ Δόξα τῇ ἁγίᾳ, ϗ ὁμοουσίῳ κτλ. κεκλεισμένων οὐσῶν τοῦ Ναοῦ τῶν Θυρῶν, ϗ ψάλλοντος αὐτοῦ τε ϗ ἡμῶν τὸ. Χριστὸς ἀνέστη τρισκαιδεκάκις, ὡς σύνηθες εἰσερχόμεθα εἰς τὸν Ναὸν, ϗ τοῦ Ἱερέως Συναπτὴν ποιήσαντος μεγάλην, ϗ Ἐκφωνήσαντος „ Ὅτι πρέπει σοι πᾶσα δόξα," Ἄρχεται ὁ Προεστὼς τοῦ Κανόνος ὅς ἐστι Ποίημα τοῦ Ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ. τοὺς Εἱρμοὺς ἀνὰ δ΄. Καὶ τὰ Τροπάρια εἰς ιϐ. Καὶ αὖθις ἔσχατον ὁ Εἱρμὸς παρ' ἀμφοτέρων τῶ Χορῶν. ἐν ἑκάστῃ δὲ Ὠδῇ γίνεται παρὰ τοῦ Ἱερέως Συναπτή. Ὠδὴ ά ἦχ. ά. Ὁ Εἱρμὸς.

ἈΝαστάσεως ἡμέρα. λαμπρυνθῶμεν λαοὶ, Πάσχα Κυρίου Πάσχα ἐκ γὰρ θανάτου πρὸς ζωὴν, ϗ ἐκ γῆς πρὸς οὐρανὸν Χριστὸς ὁ Θεὸς, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις, ϗ ὀψώμεθα, τῷ ἀπροσίτῳ



Φωτὶ τῆς ἀναστάσεως Χριστὸν ἐξαστράπτοντα, ϗ χαίρετε φάσκοντα, τρανῶς ἀκουσώμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω. ἑορταζέτω δε κόσμος, ὁρατός τε ἅπας ϗ ἀόρατος. Χριστὸς γὰρ ἐγήγερται. εὐφροσύνη αἰώνιος.

Ἐκφών. Ὅτι σὸν τὸ κράτος. Ὠδὴ γ΄ Ὁ Εἱρμός.

Δεῦτε πόμα πίωμεν καινὸν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον. ἀλλ' ἀφθαρσίας πηγὴν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται Φωτὸς, οὐρανός τε ϗ γῆ ϗ τὰ καταχθόνια. ἑορταζέτω γοῦν πᾶσα κτίσις, τὴν ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστὲ, συνεγείρομαι σήμερον ἀναστάντι σοι. συνεσταυρούμην σοι χθές. αὐτός με συνδόξασον σωτὴρ, ἐν τῇ βασιλείᾳ σου

Ἐκφών. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν ϗ. Ἡ ὑπακοὴ ἦχ δ΄.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριὰμ, ϗ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου· τὸν ἐν Φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα. δράμετε ϗ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον. ὅτι ὑπάρχει Θεοῦ Υἱὸς, τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων. Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Ἐπὶ τῆς θείας Φυλακῆς, ὁ θεηγόρος Ἀββακοὺμ, στήτω μεθ' ἡμῶν ϗ δεικνύτω, Φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα. σήμερον σωτηρία τῷ κόσμῳ. ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ἄρσεν μὲν ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδὺν, πέφηνε Χριστὸς, ὡς βροτὸς δὲ, ἀμνὸς προσηγόρευται. ἄμωμος δὲ, ὡς ἄγευστος κηλῖδος τὸ ἡμέτερον Πάσχα. ϗ ὡς Θεὸς ἀληθὴς

τέλειος λέλεκται (1).

Ὡς ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογȣ́μενος ἡμῖν, ςέφανος Χριςὸς ἑκȣσίως (2) ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον, ϗ αὖθις ἐκ τȣ̃ τάφȣ ὡραῖος δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαβὶδ, πρὸ τῆς σκιώδȣς κιβωτȣ̃, ἥλατο σκιρτῶν. ὁ λαὸς δὲ τȣ̃ Θεȣ̃ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως. ὅτι ἀνέςη Χριςὸς ὡς παντοδύναμος. Ἐκφών. Ὅτι ἀγαθὸς ϗ φιλάνθρω.

Ὠ,δὴ ε. Ὁ Εἱρμός.

Ὀρθρίσωμεν ὄρθρȣ βαθέος, ϗ ἀντὶ μύρȣ τὸν ὕμνον, προσοίσωμεν τῷ δεσπότῃ. ϗ Χριςὸν ὀψώμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σȣ εὐσπλαγχνίαν, οἱ ταῖς τȣ̃ ᾅδȣ σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριςὲ, ἀγαλλομένῳ ποδὶ, Πάσχα κροτȣ̃ντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριςῷ, ἐκ τȣ̃ μνήματος ὡς νυμφίῳ, ϗ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεȣ̃ τὸ σωτήριον.

Ἐκφών. Ὅτι ἡγίαςαι. Ὠ,δὴ ϛ′ Ὁ Εἱρμός.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς. ϗ συνέτριψας μοχλȣ̀ς αἰωνίȣς, κατόχȣς πεπεδημένων Χριςέ. ϗ τριήμερος, ὡς ἐκ κήτȣς Ἰωνᾶς, ἐξανέςης τȣ̃ τάφȣ.

Φυλάξας τὰ σήμαντρα σῶα Χριςὲ, ἐξηγέρθης τȣ̃ τάφȣ. ὁ τὰς

(1) Ἤτοι. καθ᾽ ὃ βιβρώσκεται ϗ ἐσθίεται, ὠνομάσθη ἀμνὸς ὁ Χριςός. (2) Τὸ ῥητὸν τȣ̃το ὁ μελωδὸς ἠρανίσθη ἐκ τȣ̃ εἰς τὸ Πάσχα λόγȣ τȣ̃ μεγάλȣ Γρηγορίȣ ὁδὲ Γρηγόριος πάλιν ἐκ τȣ̃ ξδ′. ψαλμȣ̃. ςίχ. 12. ȣ̃τω λέγοντος, εὐλογήσεις τὸν ςέφανον τȣ̃ ἐνιαυτȣ̃ τῆς χρηςότητός σȣ. ςέφανον ȣ̃ν χρηςὸν ϗ εὐλογȣ́μενον ὀνομάζει ὧδε τὸν Χριςὸν, καθ᾽ ὃ ἐνιαύσιον ἀμνόν. ὁμοίως ϗ ἥλιον δικαιοσύνης ὡραῖον, διὰ τὶ ὁ ἥλιος ποιεῖ τὸν ἐνιαυτόν.



τὰς κλεῖς τῆς Παρθένȣ μὴ λυμηνάμενος, ἐν τῷ τόκῳ σȣ. ϗ ἀνέωξας ἡμῖν, παραδείσȣ τὰς Πύλας.

Σῶτέρ μȣ τὸ ζῶν τε ϗ ἄθυτον, Ἱερεῖον ὡς Θεός. σεαυτὸν ἑκȣσίως, προσαγαγὼν τῷ Πατρὶ συνανέςησας, Παγγενῆ τὸν Ἀδὰμ, ἀναςὰς ἐκ τȣ̃ τάφȣ.

Ἐκφών. Σὺ γὰρ εἶ ὁ Βασιλεύς. Κοντάκιον ἦχ. πλδ′.

Εἰ ϗ ἐν τάφῳ κατῆλθες ἀθάνατε. ἀλλὰ τȣ̃ ᾅδȣ καθεῖλες τὴν δύναμιν, ϗ ἀνέςης ὡς νικητὴς Χριςὲ ὁ Θεὸς, γυναιξὶ μυροφόροις φθεγξάμενος· χαίρετε. ϗ τοῖς σοῖς Ἀποςόλοις εἰρήνην δωρȣ́μενος. ὁ τοῖς πεσȣ̃σι παρέχων ἀνάςασιν.

Ὁ οἶκος.

Τὸν πρὸ ἡλίȣ ἥλιον δύναντα ποτὲ ἐν τάφῳ, προέφθασαν πρὸς ὄρθρον ἐκζητȣ̃σαι ὡς ἡμέραν, Μυροφόροι κόραι. ϗ πρὸς ἀλλήλας ἐβόων. ὦ φίλαι, δεῦτε τοῖς ἀρώμασιν ὑπαλείψωμεν, σῶμα ζωηφόρον ϗ τεθαμμένον. σάρκα ἀνιςῶσαν τὸν παραπεσόντα Ἀδὰμ, κείμενον ἐν τῷ μνήματι. ἄγωμεν σπεύσωμεν ὥσπερ οἱ Μάγοι, ϗ προσκυνήσωμεν ϗ προσκομίσωμεν τὰ μύρα ὡς δῶρα, τῷ μὴ ἐν σπαργάνοις, ἀλλ᾽ ἐν σινδόνι ἐνειλημένῳ. ϗ κλαύσωμεν ϗ κράξωμεν. ὦ Δέσποτα ἐξεγέρθητι. ὁ τοῖς πεσȣ̃σι παρέχων ἀνάςασιν. Ὠ,δ. ζ′ Ὁ Εἱρμ.

Ὁ παῖδας ἐκ καμίνȣ ῥυσάμενος, γενόμενος ἄνθρωπος. πάσχει ὡς θνητὸς, ϗ διὰ πάθȣς τὸ θνητὸν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς ϗ ὑπερένδοξος.

(1) Ἤτοι. ἡ κατὰ τὴν ἑσπέραν τȣ̃ μεγάλȣ Σαββάτȣ μέχρις ϛ′. ὥρας γενομένη σύναξις ϗ φωταγωγία. ἥτις ἦν ὁ Πρόδρομος τȣ̃ μεγάλȣ φωτὸς τῆς ἀναςάσεως ϗ οἱονεὶ προεόρτιος εὐφροσύνη. ἄγρυπνον γὰρ ἦγον τὴν νύκτα πάντες ἰδίᾳ ϗ δημοσίᾳ μέχρι τῆς ϛ′ ὥρας ᾄδοντες, ϗ λαμπάδας ἀνάπτοντες ϗ προσδοκῶντες ὅσον ȣ̃πω τὴν τȣ̃ Σωτῆρος ἀνάςασιν. ἠρανίσθη δὲ τȣ̃το ὁ μελωδὸς ἐκ τȣ̃ εἰς τὸ Πάσχα λόγȣ Γρηγορίȣ τȣ̃ Θεολόγȣ.

Γυναῖκες μετὰ μύρων θεόφρονες ὀπίσω σου ἔδραμον, ὃν δὲ ὡς θνητὸν μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν χαίρουσαι ζῶντα Θεόν, καὶ Πάσχα τὸ μυστικόν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Ὢς ὄντως Ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος, νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως, οὖσα προάγγελος (ι) ἐν ᾗ τὸ ἄχρονον Φῶς, ἐκ τάφου σωματικῶς πᾶσιν ἐξέλαμψε.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς, τῆς αἰωνίου ἀπαρχήν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον. Ἐκφών. Εἴη τὸ Κράτος τῆς Βασιλ. Ὠδὴ η'. Ὁ Εἱρμ.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν σαββάτων, ἡ βασιλὶς καὶ κυρία. ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γοννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τοῦ Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε. ἰδοὺ γὰρ ἥκασί σοι θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης, (1) καὶ ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ παντοκράτορ, καὶ λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη ἐν ὑποστάσεσι Φύσις, ὑπερούσιε καὶ ὑπέρθεε. εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἐκφών. Ὅτι εὐλόγηται καὶ. Ὠδὴ θ'. Ὁ Εἱρμός.

---

(1) Θάλασσα ἐνταῦθα ὀνομάζει ὁ μελῳδός, τὰ νότια μέρη τῆς Ἱερουσαλήμ. καθ' ὅτι, ταῦτα ἀπὸ Θαλάσσης περιορίζονται. ὥσπερ δὴ καὶ πολλοὶ τῶν Προφητῶν οὕτως αὐτὰ ὀνομάζουσιν.



Φωτίζου φωτίζου, ἡ νέα Ἱερουσαλήμ. ἡ γὰρ δόξα Κυρίου, ἐπὶ σὲ ἀνέτειλε. χόρευε νῦν, καὶ ἀγάλλου Σιών. σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὢ θείας! ὢ φίλης! ὢ γλυκυτάτης σου φωνῆς μεθ' ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω ἔσεσθαι μέχρι τερμάτων αἰῶνος Χριστέ. ἣν οἱ πιστοί, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ μέγα καὶ Ἱερώτατον Χριστέ. ὢ σοφία καὶ λόγε, τοῦ Θεοῦ καὶ δύναμις. δίδου ἡμῖν, ἐκτυπώτερον σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.

Ἐκφών. Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις. Ἐξαποστειλ. ἐκ γ'

Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς. καὶ καταργήσας θάνατον. Πάσχα τῆς ἀφθαρσίας, τοῦ κόσμου σωτήριον.

Εἰς τὸ Πᾶσα πνοή. ἱστῶμεν στίχ. δ. στιχηρ. ἀναστάσ. ἦχ. α'.

Ὑμνοῦμέν σου Χριστὲ τὸ σωτήριον πάθος, καὶ δοξάζομέν σου τὴν ἀνάστασιν.

Ὁ σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε. ὡς μόνος παντοδύναμος.

Ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ ἀναστάσει σου Χριστέ. ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, βοῶμέν σοι Χριστέ: ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί. ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας σταυρόν. ἀνέστης ἐκ τοῦ τάφου ὡς ἐκ παστάδος προελθών. ἵνα σώσῃς τὸν κόσμον, Κύριε δόξα σοι. Εἶτα ἑνουμένων τῶν δύο χορῶν, ψάλλονται τὰ Τροπάρια ταῦτα. ἦχ. πλα'. στίχ. Ἀναστήτω ὁ Θεὸς καὶ

Πάσχα Ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται. Πάσχα καινὸν ἅγιον. Πάσχα μυστικόν. Πάσχα πανσεβάσμιον. Πάσχα Χριστὸς ὁ λυτρωτής. Πάσχα ἄμωμον. Πάσχα μέγα. Πά-

σχα τῶν πιϛῶν. Πάσχα τὸ πύλας ἡμῖν τȣ̃ παραδείσȣ ἀνοίξαν. Πάσχα πάντας ἁγιάζον πιϛȣ̀ς. Ὡς ἐκλείπει καπνὸς

Δεῦτε ἀπὸ θέας γυναῖκες εὐαγγελίϛριαι, ϗ τῇ Σιὼν εἴπατε. δέχȣ παρ᾽ ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς ἀναϛάσεως Χριϛȣ̃. τέρπȣ χόρευε ϗ ἀγάλλȣ Ἱερȣσαλὴμ. τὸν Βασιλέα Χριϛὸν θεασαμένη ἐκ τȣ̃ μνήματος, ὡς νυμφίον προερχόμενον.

Αἱ μυροφόροι γυναῖκες ὄρ- Οὕτως ἀπολȣ̃νται οἱ ἁμαρ-
θρȣ βαθέος, ἐπιϛᾶσαι πρὸς τὸ μνῆμα τȣ̃ ζωοδότȣ, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον. ϗ αὐτὸς προσφθεγξάμενος, αὐταῖς ȣ̔́τως ἔλεγε. τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθȣ̃σαι κηρύξατε τοῖς αὐτȣ̃ Μαθηταῖς. Αὕτη ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος.

Πάσχα τὸ τερπνὸν, Πάσχα Κυρίȣ Πάσχα. Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε. Πάσχα ἐν χαρᾷ, ἀλλήλȣς περιπτυξώμεθα. ὦ Πάσχα λύτρον λύπης. ϗ γὰρ ἐκ τάφȣ σήμερον, ὥσπερ ἐκ παϛȣ̃ ἐκλάμψας Χριϛὸς, τὰ γύναια χαρᾶς ἔπλησε λέγων. κηρύξατε Ἀποϛόλοις. Δόξα ϗ νῦν ἦχ. πλά.

Ἀναϛάσεως ἡμέρα ϗ λαμπρυνθῶμεν τῇ πανηγύρει. ϗ ἀλλήλȣς περιπτυξώμεθα. εἴπωμεν ἀδελφοὶ (1) ϗ τοῖς μισȣ̃σιν ἡμᾶς συγχωρήσωμεν πάντα τῇ ἀναϛάσει. ϗ ȣ̔́τω βοήσωμεν. Χριϛὸς ἀνέϛη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, ϗ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. Τὰ Μεγαλυνάρια.

(1) Ἤτοι. ȣ̓ τοῖς ἀγαπῶσι μόνον, ἀλλὰ ϗ τοῖς μισȣ̃σιν ἡμᾶς εἴπωμεν τὸ τῆς ἀγάπης ὄνομα τὸ, ὦ ἀδελφοὶ, ἢ ἀδελφοὶ ἐμοὶ. ἢ ἀδελφοὶ ἐϛὲ ἡμῶν. ἠρανίσθη δὲ τȣ̃το ὁ μελῳδὸς ἐκ τȣ̃ εἰς τὴν βραδυτῆτα λόγȣ Γρηγορίȣ τȣ̃ Θεολόγȣ. ὁ δὲ Θεολόγος πάλιν ἠρανίσθη τȣ̃το ἐκ τȣ̃ ξϛ΄. κεφ. ϛίχ. 5. τȣ̃ Ἡσαΐȣ λέγοντος » εἴ» πατε ἀδελφοὶ ἡμῶν, τοῖς μισȣ̃σιν ἡμᾶς ϗ βδελυσσομένοις ἵνα » τὸ ὄνομα Κυρίȣ δοξασθῇ, ϗ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ αὐτῶν, ϗ » ἐκεῖνοι αἰσχυνθήσονται.



Ὁ Ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ. ἁγνὴ παρθένε χαῖρε, ϗ πάλιν ἐρῶ χαῖρε. ὁ σὸς Υἱὸς ἀνέϛη τριήμερος ἐκ τάφȣ.

Μεγάλυνον ψυχή μȣ, τὸν ἐξαναϛάντα τριήμερον ἐκ τάφȣ,

Μεγάλυνον ψυχή μȣ, τὸν ἐθελȣσί- (Χριϛὸν τὸν ζωοδότην.
ως παθόντα ϗ ταφέντα, ϗ ἐξαναϛάντα τριήμερον ἐκ τάφȣ.

Χριϛὸς τὸ καινὸν Πάσχα, τὸ ζωόθυτον θῦμα. ἀμνὸς Θεȣ̃ ὁ

Μαγδαληνὴ Μαρία προ- (αἴρων, τὴν ἁμαρτίαν κόσμȣ.
σέδραμε τῷ τάφῳ. ϗ τὸν Χριϛὸν ἰδȣ̃σα, ὡς κηπȣρὸν ἠρώτα.

Ἄγγελος ἐξαϛράπτων, ταῖς γυναιξὶν ἐβόα· παύσασθε τῶν

Ἐξύπνισας ὑπνώσας, νε- (δακρύων. ὅτι Χριϛὸς ἀνέϛη.
κρȣ̀ς τȣ̀ς ἀπ᾽ αἰῶνος, βασιλικῶς βρυχήσας ὡς ἐξ Ἰȣ̃δα λέων.

Ὁ Χριϛὸς ἀνέϛη, τὸν θάνατον πατήσας, ϗ τȣ̀ς νεκρȣ̀ς ἐγεί-

Σήμερον πᾶσα κτίσις, (ρας λαοὶ ἀγαλλιᾶσθε.
ἀγάλλεται ϗ χαίρει, ὅτι Χριϛὸς ἀνέϛη ϗ ᾅδης ἐσκυλεύθη.

Σήμερον ὁ δεσπότης, ἐσκύλευσε τὸν ᾅδην, ἐγείρας τȣ̀ς δεσμίȣς, ȣ̔̀ς ἀπ᾽ αἰῶνος εἶχε, δεινῶς κεκρατημένȣς.

Δράμετε Γυναῖκες, εἰς τὴν Γαλιλαίαν· εἴπατε τῷ Πέτρῳ ϗ τοῖς Ἀποϛόλοις ὅτι Χριϛὸς ἀνέϛη.

Ταχ.νον ὦ Πέτρε, σὺν τῷ Ἰωάννῃ ἴδετε τὸν τάφον κενὸν ϗ τὰς σινδόνας, Χριϛȣ̃ τȣ̃ ἀναϛάντος. Δόξα.

Μεγάλυνον ψυχή μȣ, τῆς τρισυποϛάτȣ ϗ ἀδιαιρέτȣ Θεότητος τὸ κράτος. Καὶ νῦν.

Χαῖρε Παρθένε χαῖρε, χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη. σὸς γὰρ Υἱὸς ἀνέϛη, τριήμερος ἐκ τάφȣ.

Εὐαγγέλιον τȣ̃ ἑσπερινȣ̃ τῆς ἁγίας ϗ μεγάλης Κυριακῆς τȣ̃ Πάσχα, Ἡρωϊκὸν ἀναγινωσκόμενον ἐν αὐτῇ παρὰ τῶν βȣλομένων. Μεταποιηθὲν ἐπὶ τὸ βέλτιον ὑπὸ τȣ̃ Διορθωτȣ̃ εἰς δόξαν τȣ̃ ἀναϛ.ντος Χριϛȣ̃.

» Εὖτε δὴ ἠέλιος, Φαέθων ἐπὶ ἕσπερον ἦλθε.
» Καὶ σκιόωντο ἀγυιαὶ, ἐπὶ χθονὶ πȣλυβοτείρῃ,
» Ἤματι ἐν πρώτῳ, ὅτε τύμβȣ ἆλτο Σαωτήρ.

, Κληῖσαι δὲ ἔσαν, θυρίδες πυκινῶς ἀραρυῖαι.
, Βλῆντο δὲ πάντες ὀχῆες, εὐσταθέος μεγάροιο.
, Ἔνθα Μαθηταὶ ὁμοῦ τε ἀολλέες ἠγερέθοντο.
, Μυρόμενοι θανάτῳ, ἐπ' ἀεικεῖ Χριστοῦ ἄνακτος.
, Καὶ χόλον ἀφραίνοντα, Ἰουδαίων τρομέοντες.
, Ἤλυθε δὴ τότε Χριστὸς Ἄναξ θεοειδέϊ μορφῇ.
, Ἔστη δ' ἐν μεσάτῳ, ἀναφανδὸν καὶ φάτο μῦθον.
, Εἰρήνη ὑμῖν φίλη. ἡσυχίη τ' ἐρατεινή.
„ Ὣς εἰπὼν ἐπέδειξεν, ἑὴν πλευρὴν ἰδὲ χεῖρας.
, Γήθησαν δὲ Μαθηταὶ, ἐπεὶ ἴδον Εὐρυμέδον
„ Τοὺς δ' αὖτις προσέειπεν, Ἰησοῦς οὐρανοφοίτης
, Εἰρήνη ὑμῖν φίλη. ἡσυχίη τ' ἐρατεινή.
, Ὡς ἐμὲ πέμψε Πατὴρ, ὃς ὑπέρτατα δώματα να.
, Ὣς δ' ἐγὼ ὑμέας εἰς χθόνα πέμπω εὐρυόδειαν.
„ Ὣς ἄρα φωνήσας, μύσταις ἔμπνευσ' ἀγορεύων,
, Πνεῦμα δέχνυσθ' ἅγιον, φαεσίμβροτον ὑψιθόωκον.
, Ὧν μὲν ἀτασθαλίας, θνητῶν ἀφεῖτ' ἐπὶ γαῖαν,
, Τοῖσι νύπου ἀφίενται, ἐς οὐρανὸν ἀστερόεντα.
, Ὧν δ' ἂρ ἐπεσβολίας, ὑπερφιάλων κρατέητε,
, Τοῖσιν ἀλυκτοπέδης, κεῖναι σθεναρῆς κρατέονται.
„ Θωμᾶς δ' ᾧ ἐπίκλησις, ἅπασι Δίδυμος ἀκούειν.
, Οὐχ' ἅμα τοῖς ἄλλοις μύσταις πρὶν ὁμώροφος ἐσκ
, Ἰησοῦς ὅτ' ἔβη, εἴσω μελάθροιο ἑταίρων.
, Ἴαχον οὖν ἄλλοι, τούτῳ ἐρίηρες ἑταῖροι.
, Εἴδομεν ὀφθαλμοῖσιν, Ἰησοῦν Παγκρατέοντα.
„ Τοὺς δ' ἀπαμειβόμενος, Θωμᾶς προσέφησεν ἀτειρή
, Ἴχνια ἢν μὴ ἴδω, μετὰ χείρεσιν ἡλοτορήτης,
, Δάκτυλον ἐμβάλλω τε. ἐκείνου ἔνδοθι χειρός,
, Χεῖρά τ' ἐμὴν εἴσω, πλευρῆς οἷ ῥεῖα βαλοίμην.
, Οὔποτε ὑμετέροισι, λόγοις κεφαλῇ κατανεύσω..

ΤΕΛΟΣ.